*Spre lauda luĭ Nicolaĭ Mavrocordat tot de Georgie Trapezuntiu.*

Să știe acum aceste pământul, și désupra cerul cel larg, că modul cântăreĭ tale, Febe [147]), s'a respândit pretudindenea preste continentul cel de junice nutritor și preste insule. Te cântă tóte priveliștele, și culmele estreme ale înalților munțĭ, rîurile curgĕtóre în mare, țĕrmurile înclinate la mare și porturile măreĭ, că eștĭ prea onorat și mare între bărbațĭ, căcĭ preste toțĭ ómeniĭ eștĭ maĭ renumit. Pentru care tóte musele alternând (preschimbându-se) cu frumósă vóce, încă și grațiele cele cu plete frumóse și órele nopțeĭ îțĭ cântă imne, și fermecă némurile ómenilor. Decĭ fie să veḑĭ tot gratitudinĭ, să-țĭ înveseleștĭ sufletul, să fiĭ pururea onorat în tóte ḑilele, tu blândule cu ceĭ protivnicĭ, conducĕtorule al bărbaților celor dreptĭ, bucurie mare ómenilor și persecutător de rele suferințĭ; și o fericite, cu inimă milósă ajutătorule al sĕracilor; divinule, din gura ta curge vorba dulce, în cât formézĕ cor frumos de muse

κτήνεσιν εὐθηνεῖ, οἶκος δ' ἐμπίπλαται ἐσθλῶν,
σοῦ γάρ τοι θυμὸς πρόφρων, καὶ μῆτις ἀρίστη,
ἕς τ' οὖν ὕδωρ τε ρέῃ, καὶ δένδρεα μακρά τε θήλῃ,
ἠέλιός τε ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη,
καὶ ποταμοὶ ρέουσιν, ἀνακλύζῃ δὲ θάλασσα,
οὖλέ τε, καὶ μέγα χαῖρε, θεὸς δέ τοι ὄλβια δοίη·
δὸς μάκαρ εἰρήνης τε μένειν ἐν ἀπήμοσι θεσμοῖς,
δυσμενέων προφυγόντα μόθον, κῆρας τε βιαίους·
ἀθάνατον τ' εἶναι, καὶ ζώειν ἤματα πάντα,
ρηϊδίως αἰῶνα τελεσφόρον εἰς ἐνιαυτὸν,
εὔκηλον διάγοντα ἐνισφετέροσι δόμοισι·
δὸς τῷ τοι χαίροντι ἐς ὥρας πάντας ἱκέσθαι,
ἐκ δ' αὖ ὡράων εἰς πολλοὺς ἐνιαυτούς. 34

**și de grațiĭ. Ferice de acela dintre ómeniĭ muritorĭ, pre care sufletul tĕŭ voios l'ar onora, aceluia tóte ĭĭ sunt în abondență: țarina cea dătătóre de ale vieței ĭĭ îmbelșugată, câmpiele abundéză de animale și casa plină de cele bune; căcĭ sufletul tĕŭ ĭĭ este favorabil și gândul prea bun. Decĭ până când apa ar curge, și înalțiĭ arborĭ ar înflori, sórele rĕsărind și luna lucitóre ar strĕluci, rîurile ar curge și marea s'ar învălui, fiĭ sănătos și multă salutare, ĭar D-ḑeŭ să-țĭ dea tóte fericirile! Fă fericite, să petrécă în dispozițiunĭ de pace neturburate, evitânduĭ lupta cu dușmaniĭ și restriștele violente, să fie nemuritor și să tră̆éscă înḑilit ușor petrecêndu-șĭ în anĭ deplinĭ vécul liniștit în palatele sale. Fă ca cel ce salutéză să ajungă în óre pre toțĭ și ĭarăș din óre la mulțĭ anĭ.**

(Acéstă poesie este un conglomerat de versurĭ din imnile luĭ Omer la Apolon, Ermes, Efest, Dionis.)

---

Τοῦ αὐτοῦ εἰς τὸν αὐτόν.

Σῶσαις ὑψιμέδον, φαεσίμβροτε, ἄφθιτε, Σῶτερ·
ἐνδικαίως διέποις τ' ἀστεμφέα κράντορα θεῖον,
κοίρανον εὐσεβέα, στάθμην σοφίῃ ἀριγνώτῳ,
ἰδμοσύνῃ θ' ἁπάσῃ θείοις τ' ἐνὶ δόγμασιν ὄντως,
νηφάλιον Νικόλαον, νηπενθέα, νηοχαρῆα,
ἱλαρὸν, ἰσχυρόβουλον, ἰθύντατον, ἱμερόεντα,
κοσμον, κλειτογενῆ, καλλιστεφέα, κλυτιάδην,
ὄρχαμον, ὀρθόπολιν, ὀλβιστὴν, ὀλβιόδωρον,
λαμπραυγῆ, λαμπτῆρα, λιγυρὸν, λαμπετόωντα,
ἄσμενον, ἀνθεμόεντα, ἀγακλυτὸν, ἀστερόεντα,
ὄλβιον, ὀβριμόεργον, διόγνιον, οὐρανομύστην,
σώφρονα, σεμνότατον, σειρήνων, σεμνολόγημα·
φρούρεε δὴ θεράπονθ' ὑψίθρονε σὸν Νικόλαον,
οὐγκροβλάχωνμέγ'ἄϊσμα,φαάντατονἔμφρονα φῶτα,
φαίδιμον ἡγεμόνεσι, σοφώτατον ἔξοχα πάντων,
πλείονας ἐς λυκάβαντας ἐν εὐποτμίᾳ,καὶὑγείᾳ. 16

---

Τοῦ αὐτοῦ εἰς τὸν Αὐθέντην Κωνσταντήνβοδα, υἱὸν τοῦ Νικολάου βοδα
διὰ στίχων λεοντίων.

Ἐν τῇ συνέσει Δυναστοῦ
τῇ τοῦ κοιράνου φρονήσει
οὕτω σαυτοῦ τῇ συνέσει

Ἡ γὰρ σαυτοῦ ὑψιλότης
ζητήσει δικαιοσύνην,
ὡς ὢν υἱὸς τῆς εἰρήνης

Ἀρχαὶ, τιμαί τε καὶ θρόνοι
ἡ δ' ἀρετὴ ταῦτα πάντα
διὸ κεκόσμηκας Κράτορ

Ὁ μένων ἐν τῇ ἀγάπῃ,
σὺ δὲ κοιράνων ἀκρότης
ἐν τῷ Θεῷ διαμένεις,

Ἐν τῇ τοῦ βίου κοιλάδι
τοὺς οὐρανίους λειμῶνας
ὡς πέλων τῆς εὐσεβείας

ἡ πόλις οἰκοδομεῖται·
τὰ πλήθη εὐδοκιμοῦσι·
Οὐγκροβλαχίας εὖ ἕξει.

ἀεὶ ἐργάσεται κρίμα,
πραότητα καὶ εἰρήνην,
τοῦ εἰρηνάρχου δεσπότου.

τὴν ἀρετὴν οὐ κοσμοῦσι,
κατακοσμεῖ θαυμασίως,
ἣν εἴληφας κοιρανίαν.

ἐν τῷ Θεῷ πάντως μένει·
σχὼν τὴν ἀγάπην πρὸς πάντας
καὶ ὁ Θεὸς ἐν σοὶ μένει.

στρεφόμενος ἐναρέτως,
σαυτῷ προπαρασκευάζεις,
τὸ εὐκλεέστατον ἄνθος.

Θεὸς ἁπάντων Δεσπότης
αὐτὸς ἰθύνειε ταύτην
ἐς πανευδαίμονας πλείστους
ὁ δούς σοι τὴν ἐξουσίαν,
φυλάττοι, καὶ διεξάγοι
λυκάβαντας μετ' εἰρήνης.

Πηγὴ σοφίας ὑπάρχων.
τὴν πάρεδρον αὐτοῦ θρόνου,
ἵνα καλῶς καὶ πανσόφως
χαρίσαιτό σοι σοφίαν
τὴν θείαν, καὶ ὑπερτάτην,
τὸ ποίμνιον διοικήσῃς.

Ἀκράδαντον ἐν τῷ θρόνῳ
ἀκύμαντον ἀστεμφέα,
διατηροίη τὸ θεῖον
Οὐγκροβλαχίας ἁπάσης,
πανεύθυμον, ὑγιέα,
τὸ σὸν περίδοξον κράτος.

Ἀντικειμένους δὲ πάντας
ὑπὸ ποσὶ τοῖς ἐκλάμπροις
συντρίψειε κατὰ κράτος
ἐν σώμους, καὶ ἀσωμάτους
ὦ κράτιστε ἡγεμόνων,
Θεὸς ὁ δούς σοι τὸ κράτος.

Ἥλιος ὥσπερ ἀνίσχων
κἀκεῖθεν ἐπιδημήσας
νῦν ἐφαπλοῖς τὰς ἀκτίνας
τῆς πόλεως Κωνσταντίνου,
ἐς πατρικὸν τὸν σὸν θρόνον,
τοῖς πᾶσι τῆς εὐποιΐας.

Ἥλιος ὄντως ὑπάρχεις
ὡς ἀρεταῖς ἐσταλμένος,
ὡς ἀθυμίας τὰ νέφη
ὡς χάρισι χρυσαυγίζων,
ὡς βρύων εὐεργεσίαις,
τῳόντι διασκεδάζων.

Φωστὴρ καθάπερ ὁ μέγας
τὸν δὲ περίγειον κόσμον
ζωὴν παρέχων τοῖς ζώοις,
αὐγάζει καὶ περιθάλπει
μαρμαρυγαῖς χρυσολάμπροις,
καὶ τοῖς φυτοῖς τε καὶ χλόαις.

Οὕτως ὁμότροπε κείνῳ,
ἀπάραις τῆς Κωνσταντίνου.
τῶν ὀρθοδόξων τὰ πλήθη
πανέκλαμπρε Κωνσταντῖνε,
θάλποις ταῖς σαῖς εὐποιΐαις
τῶν ὑπὸ σὴν ὄντων χεῖρα.

Θεὸς ὁ πάντων Δεσπότης
ζυγοῖς δικαίας προνοίας
ἀνέδειξέ σε ποιμένα
κηδόμενος τοῦ ποιμνίου,
τῆς ἀνωτάτω, καὶ θειας
τῶν πατρικῶν ἐκλογάδων.

Στόματα νῦν τῶν ῥητόρων
πρὸς ἔπαινόν τε καὶ δόξαν
τῶν σῶν μεγίστων χαρίτων,
καὶ κάλαμοι φιλοσόφων
κινοῦνται πάνυ προθύμως
ὧν δέδοκέ σοι τὸ θεῖον.

Ὄρθρος λαμπρὸς ἀνεφάνης
φαίνωντε, καὶ περιθάλπων
ἀκτινοβόλους ἐκπέμπων
τοῖς πλήθεσιν Οὐγκροβλάχων
αὐτόχθονάς τε καὶ ξένους,
τῶν δωρεῶν δαψιλείας.

Οὐρανὸς ἀκούετο
ὁ Παντοκράτωρ Δεσπότης
τέθηκε νῦν θαυμασίως
ἐνωτιζέσθω ἡ γαῖα,
τὸν λύχνον τὸ φωτοφόρον
ἐπὶ τὴν ὄντως λυχνίαν.

Πέπαυται νῦν ἀθυμία,
ἀνέτειλεν εὐθυμία,
τοῖς οὖσιν ἐν τῇ Δακίᾳ,
οἴχεται νῦν δυστυχία,
ἀνέλαμψε εὐτυχία
καὶ πάσῃ Οὐγκροβλαχίᾳ.

Ἵλεως, πρᾶος, εὐγνώμων,
ἡδυεπὴς συμπαθής τε,
πατὴρ καθάπερ φιλόπαις
καὶ τῶν πταιόντων συγγνώμων.
καὶ χριστομίμητος πέλεις,
φιλόστοργος, φιλοικτίρμων.

---

Τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν διὰ στίχων
πολιτικῶν.

Ὁ παντοκράτωρ Κύριος, πηγὴ ἡ τοῦ ἐλέους,
οὐσία ὑπερούσιος, τῶν αἰτιῶν αἰτία,
ἡ χάρις ἡ πανάφθονος, τῶν οἰκτιρμῶν τὸ πλῆθος,
τῆς εὐσπλαγχνίας πέλαγος, τῶν ὄντων ἡ ὀντότης,
εἰδὼς τὴν σὴν εὐσέβειαν τὴν ἀστεμφῆ καὶ θείαν,
ὦ ἡγεμόνων κράτιστε, ὦ ἡγεμόνων δόξα,
κοίρανε θεοκόσμητε, μέγιστε Κωνσταντῖνε·
καὶ ὡς τυγχάνεις ἄριστος πλήρης τῆς εὐλαβείας,
ἄγαλμα πανυπέρλαμπρον, χαρίτων πεπλησμένων,

πηγὴ ἡ χρυσοβρύουσα τὰς θεαρέστους πράξεις,
καὶ εὐποιΐας δαψιλεῖς, καὶ ἀγαθοεργίας
λειμὼν πανευθαλλέστατος, θάλλων ταῖς εὐποιΐαις,
ταμεῖον τὸ χρυσόϋλον τῶν δωρεῶν τῶν θείων,
ἔσοπτρον τὸ ἁγνότατον, ἐντρέφων θεῖον φόβον,
τῶν ἡγεμόνων κορωνὶς τῶν πανεκλαμπροτάτων,
πάντων φροντιστικώτατος ξένων, καὶ αὐτοχθόνων,
πραότατος, πανέκλαμπρος χριστομιμήτοις ἔργοις,
στέμμασι πλείσστοις ἀρετῶν κατακεκοσμημένος,
πράξεσιν αἰθερίαις τε. καὶ ὑψηλαῖς, καὶ θείαις,
πανεύφημος, πανένδοξος, τῶν πάντων εὐεργέτης,
καὶ ὡς ῥιζόθεν ἐκτεμεῖς γενναίως καὶ προθύμως,
πράξεις αἰσχρὰς, καὶ ῥυπαρὰς, καὶ πᾶσαν ἀδικίαν,
δόγματα τὰ ἀλλότρια τῆς φαύλης δυσσεβείας,
ἀποδιοπομπούμενος, ὡς ὄχεων ἀγέλας·
καὶ κυβερνήσεις ἐμμελῶς τῶν εὐσεβῶν τὰ στίφη,
ὡς ἱμερόεις, ὡς λαμπρὸς βλαστὸς τῶν ἡγεμόνων,
κλάδος πανευθαλλέστατος ἐξ ἀγαθῆς τῆς ῥίζης,
τῆς εὐσεβείας ἄγαλμα, ἀστὴρ δικαιοσύνης
παμφαεστάτη ἡ ἀκτὶς ἡλίου τοῦ πανσόφου,
τοῦ Νικολάου τοῦ κλεινοῦ, τοῦ πρώην ἡγεμόνος,
ἀνθ᾽ ὧν ὁ μέγας ἥλιος ὁ τῆς δικαιοσύνης,
Θεὸς, ἡ πάντων τῶν καλῶν πρωταίτιος αἰτία,
ὕψωσεν, ἀνεβίβασεν εἰς θρόνον τῆς Βλαχίας,
σὲ τὸν πανευσεβέστατον υἱὸν τῆς εὐλογίας,
ἵλεων, εὐμενέστατον, χαρίεντα, καὶ πρᾶον,
τὴν πατρικὴν δικαίως σοι παρέσχε λαμπραυγίαν,
δικαιοσύνης τῆς σεπτῆς ὡς πέλων ἡ ἀκρότης,
τοὺς ἀντιπάλους ἅπαντας, καὶ τοὺς ὑπεναντίους
καταтροπώσας εὐσθενῶς ὑπὸ ποσί σου κράτορ·
ὅστις ὡς πέφυκε δοτὴρ τῆς σῆς ἡγεμονίας,
ζυγοῖς δικαιοσύνης τε παρέσχε σοι τὸ κράτος,
οὕτω διαφυλάξοι σε πανεύτυχον καὶ σῶον,
ἐν τῷ ὑψίστῳ καὶ λαμπρῷ Οὐγγροβλαχίας θρόνῳ,
τῶν ἐναντίων νικητὴν, καὶ ἐνεδρῶν τῶν τούτων,
ἐν παμπληθέσιν ἔτεσιν, ἐν κύκλοις πολλῶν χρόνων,
ὡς Ἡρακλέους μιμητὴν κατὰ τῆς ἀδικίας,
ἢ μᾶλλον χριστομίμητον ἐν τοῖς δικαίοις ἔργοις,
ἀνατροπέα τῶν δεινῶν, καὶ φαύλης πολιτείας,
ἵνα τοὺς λύκους τοὺς δεινοὺς ὀλέσῃς κατὰ κράτος,
καὶ σὺν αὐτοῖς ἀγεληδὸν πᾶν εἶδος αἰσχρουργίας·
καὶ ὡς ποιμὴν πανάριστος, θεοσεβὴς, καὶ θεῖος,
τὴν θείαν ποίμνην τοῦ Χριστοῦ, τῶν εὐσεβῶν τὰ πλήθη,
εἰσάξῃς πρὸς πανάριστον νομὴν εὐθυδικίας,
ἀπαλλαγῆς τε τῶν χρεῶν, καὶ μεγαλοδωρίας·
ὁ δὲ Παντάναξ ὁ Θεὸς Παμβασιλεὺς καὶ πλάστης,
κρατήνοι, στερεώσειε τὴν σὴν ἡγεμονίαν
εἰς παμπληθεῖς λυκάβαντας, ἐν κύκλοις πολλῶν χρόνων
πανευτυχῆ, εὐδαίμονα, ἀκράδαντον, καὶ θείαν. 58 [148])

Τοῦ αὐτοῦ εἰς τὸν Ἄρχοντα Καμαράσιν Ἰωάννην.

Δέχου πανένδοξε ἀνδρῶν Σκαρλάτε Ἰωάννη,
ἀρχιταμία φίλτατε, καὶ κηδεστὰ οἰκεῖε
τοῦ σοφωτάτου κραταιοῦ αὐθέντου Νικολάου,
τὸ δὲ τὸ πονημάτιον, ἀναγραμματισμόν μοι
τοῦ σοῦ σεμνοῦ ὀνόματος εἰς μνήμην αἰωνίαν.
(ἀρχιταμίας, καμαράσης, κηδεστὴς, γαμβρὸς).

Ἴν᾽ ἄνω ἧς.

Ἴν᾽ ἄνω ἧς παρὰ Θεοῦ τιμαῖς τε καὶ ἀξίαις,
ἵνα τερφθῇς ἐν οὐρανῷ ὁμοῦ μετὰ δικαίων,
ὑπὸ Θεοῦ τετίμισας, καὶ δόξης ἀπολαύεις,
καὶ ἀπολαύσεις ἐς ἀεὶ ἀπείρονας εἰς χρόνους.

Σὴν ναίω.

Σὴν ναίω χάριν ἔνδοξε, καὶ δαψιλῶς λαμβάνω
τὰς χάριτας ἑκάστοτε σὺν πλείστοις ὁμοῦ ἄλλοις·
χαριτοβρύτην, χαριστὴν, καὶ μέγαν δωροδότην
πεποίηκέ σε ὁ Θεὸς, ὁ κηδεμὼν ἁπάντων.

Νῷ ἂν ἧς.

Νῷ, καὶ φρονήσει ἀκριβεῖ, καὶ λίαν ἐχεφρόνως
πορεύῃ ἂν τὸ στάδιον τὸ τοῦ παρόντος βίου.
ἐμμένων ἀμετράτεπτος τοῖς ἀγαθοῖς, οἷς ἔχεις,
καὶ προστιθεὶς ἄλλ᾽ ἀγαθὰ ἐπὶ τοῖς προλαβοῦσι.

Νῷ ναίῃς.

Σὺν νῷ οἰκήσιας ἀεὶ σὺν νῷ γε καὶ διάξεις,
ὅποι περ ἂν σὺ πορευθῇς, ὑπάρχων ἐστεμμένος
ταῖς χάρισι, ταῖς δωρεαῖς, καὶ ταῖς εὐεργεσίαις,
αἷς καθ᾽ ἑκάστην κέχρησαι, εὐεργετῶν τοὺς πάντας.

Σιὼν νῆα.

Ὥς τινας νῆα ἀρετὰς ὀχούμενος, ἐντεῦθεν
πρὸς τὴν Σιὼν ἀνάδραμε τὴν ἄνω, τὴν ἐν πόλῳ.

Σαίνων ἡ.

Σαίνων, περιποιούμενος τοὺς ἅπαντας ὑπάρξει
ὁ Ἰωάννης ὁ κλεινὸς, τῶν εὐγενῶν ἡ δόξα.

Αἴνων ἧς.

Ἀεὶ ἐπαίνων, καὶ τιμῶν, ταῖς ἀγαθοεργίαις
ὑπάρχεις ἀξιούμενος, ὡς τὰ ἐπαίνου πράττων.

Ναῶν ἶς ἡ.

Υἱός τε χαριτόκομος, υἱὸς τῆς εὐσεβείας,
δύναμις πάντως πέφυκε Ναῶν τῶν σεβασμίων.

Ἄνω ἴσην.

Ἄνω πορείαν τὴν στενὴν, ἴσιν ἀπαραβάτως
ἀδεῶς τρέχεις, ἐντελῶς, τὰς ἐνδολὰς φυλάττων.

Ἴσην νάω.

Ἴσην δικαίαν τὴν ὁδὸν τοῦ βίου διατρέχων,
ἴσην καὶ τὴν πρὸς οὐρανὸν, φησὶν, ἐγὼ ἀνέλθω.

Ἴσην ὦαν.

Δικαίως ταύτην τὴν ζωὴν τὴν κάτω κεκτημένος,
δικαίως πρὸς οὐράνιον λειμῶνα κατοικήσεις.

Ἄσων ἠνί.

Ἰδοὺ κἀγὼ σὺν ἅπασιν, ὁρῶν τὰς εὐποιΐας,
αἰνέσω προτεθύμημαι τὸν μέγαν Ἰωάννην.

Ἄσων νηί.

Πᾶς τις ἐνωτιζόμενος τὰς πράξεις τὰς ἐνθέους,
καὶ ἐν νηὶ προσέρχεται ἰδεῖν, καὶ ἐπαινέσαι.

Ἀ ὤνησιν.

Βαβαὶ μεγίστην ὤνησιν πολλῶν πτωχῶν, καὶ δούλων
τὸν δὲ Θεὸς ἐξέπεμψε, τῶν εὐγενῶν τὸ κλέος.

Ἰωνᾶς ἦν.

Καὶ ἦν, καὶ ἔσται ἐς ἀεὶ πλήρης τοῦ θείου ζήλου,
πανευλαβὴς, πανευσεβὴς, ὡς Ἰωνᾶς ὁ θεῖος.

Ἀΐων νῆς.

Ἀκούων σὺ τῶν ἐντολῶν, φωνῶν τε τῶν πενήτων
πλεύσεις καλῶς, καὶ εὐσταλῶς εἰς οὐρανοῦ λιμένα.

Ἴσα νηῶν.

Τὰ ἴσα δικαιώματα Ναῶν τῶν τοῦ Κυρίου
ἐς σὴν ψυχὴν συνήθροισας πολλῇ τῇ δαψιλείᾳ.

Ἀΐων σήν.

Ἀκούων ἕκαστος τὴν σὴν μεγίστην προστασίαν,
καὶ δαψιλῆ τὸν ἔλαιον, προσέρχεται προθύμως.

Ἄνω ἶς ἤν.

Ἄνω ὑπάρχων τῇ τιμῇ, ἄνω καὶ τῇ ἀξίᾳ,
ἀνώτατος, καὶ δύναμις τοῖς ἔργοις ἐγεγόνει.

Νησῶν Ἴν.

Ἴα τὰ κατορθώματα πανεύοσμα τυγχάνει
νησῶν, καὶ χέρσου, καὶ παντὸς τοῦ περιγείου κόσμου.

Ἰάσων ἦν.

Ἰάσων παναλκέστατος, ὁ νοητὸς καὶ θεῖος
Αἰήτην τὸν πολέμιον ὀλέσας κατὰ κράτος

Ἴων ἧς ἄν.

Τῶν Ἴων εὐοσμώτερος, καὶ πάντων τῶν ἀνθέων
ταῖς αἰθερίαις πράξεσι τυγχάνεις παραδόξως.

Σάων ἠνί.

Ἰδοὺ τελέθεις ἀγαθὸς, τοῖς πλείστοις εὐεργέτης,
σώζων, φυλάττων, εὐποιῶν, ἀόκνως περισκέπων.

Ἂν νῆς Ἴω.

Ἕκαστος ἐκκηλούμενος ταῖς ἀγαθοεργίαις,
ἔφησεν ἂν πανευμενῶς, ὅπη περ ἂν ἀπίῃς,
κἀγὼ σὺν σοὶ πορεύσομαι, κράτιστε εὐεργέτα.

Ναίω ἧς.

Ὡς ἄριστος, ὡς δίκαιος, οἰκήσαις ἂν εἰρήνῃ,
τοῖς πᾶσιν ἀγαπώμενος, ἀπόβλεπτος τοῖς πᾶσι.

Νάων ἴης.

Ταῖς παναρίστοις πράξεσιν οἰκήσιον ἀπελεύσῃ
μετὰ τοῦ βίου στάδιον ἐς οὐρανοῦ παστάδα.

Ἂν αἰνῆς.

Ὑπάρχων εὐμενέστατος, πραότατος, ἡ δύς τε
αἰνέσειας, φιλήσειας τοὺς σοὶ οἰκειωθέντας.

Σιὼν ὠνῇ.

Εὐχαῖς, καὶ πίστει εὐσεβεῖ, καὶ πράξεσιν ἐνθέοις
ὠνεῖται εὐμαρέστατα Σιὼν τὴν οὐρανίαν.

Σινᾶ Νηῷ.

Μεγίστην τὴν εὐλάβειαν προσφέρει θαυμασίως
ἐν τῷ Ναῷ τῷ τοῦ Σινᾶ, ὡς ὄντι ἐν τῷ ὄρει,
ἐν ᾧ Θεὸς ἐτέλεσε παράδοξα θαυμάτων.

Σιὼν ἂν ᾖ.

Σιὼν ἂν ὀνομάζοιτο ψυχὴ ἡ τρισολβία
τοῦδε τοῦ τρισευδαίμονος Σκαρλάτου Ἰωάννου,
ὡς οὖσα οἰκητήριον Θεοῦ τοῦ παμμεγίστου.
Ναὸς γὰρ πέλεται Θεοῦ ὁ ἀρετῇ συζήσας.

Ἀνίυς ὤν.

Τῆς λύπης δὲ γενόμενος θανάτῳ τῆς συνεύνου,
χαρᾶς ἀπείρου ἔμπλεως μετέπειτα γενήσῃ·
ἡ τοὺς ἀνίης τῆς πικρᾶς τῇ τύχῃ γεγονότας
χαροποιῶν, καὶ κυβερνῶν, εἰ ταύτης καθαιρέτης.

Ἰάσῃ νῶν.

Τὰς ἀθυμίας τὰς πικρὰς, ἐλλείματα, καὶ τύχας
ἡμῶν ἰάσῃ ἔνδοξε συχναῖς εὐεργεσίαις.

Ἰῶν ἂν ἧς.

Μόνος ἂν ἧς ἀνάπλεως παντοδαπῶν χαρίτων,
ὡς μόνος τὰ τῆς χάριτος ἀεὶ τελῶν ἐκθύμως.
Πρὸς τούτοις ἑπταγραμμάτων τὸ ὄνομα τυγχάνει
σοῦ τοῦ ἐνδόξου καὶ κλεινοῦ, ὡς πᾶσι καθορᾶται.
Μυστηριώδης ἀριθμὸς ὁ τοῦ Ἑπτὰ τυγχάνει
ἀνθ' ὅτου καὶ ἐξύμνηται ἀνδράσι τοῖς πανσόφοις.
Ἑπτὰ γὰρ καθεστήκασι τοῦ οὐρανοῦ Πλανῆται.
Ἑπτὰ δὲ κλίμασι ἡ γῆ διήρηται ἐντέχνως.
Ἑπτὰ τὰ αἰσθητήρια τυγχάνουσιν ἀνθρώπου.
Ἑπτὰ δὲ καθεστήκασι καὶ πᾶσαι αἱ κινήσεις.
Ἑπτὰ καὶ τὰ φωνήεντα ὑπάρχει τῶν γραμμάτων.
Ἑπτὰ δὲ καὶ τὰ μόρια, ἐπίτασιν δηλοῦντα·
καὶ δὶς ἑπτὰ τυγχάνουσιν αἱ στάσεις τῶν ῥητόρων,
Ἑπτὰ καὶ τὰ χαρίσματα τοῦ Πνεύματος τελοῦσι·
Ἑπτὰ δ' αὖ στύλοις ἥδρασται ὁ τῆς σοφίας οἶκος·
Ἑπτὰ δὲ τὰ μυστήρια τελοῦσι ἐκκλησίας·
Ἑπτάκις τῆς ἡμέρας τε αἰνοῦμεν τὸν Δεσπότην·
καὶ λύσιν ἐξαιτούμεθα ἡμῶν ἀμπλακημάτων·
τοιούτου τοίνυν τετευχὼς ὀνόματος τιμίου,
καὶ αἰθερίοις πράξεσιν ὑπάρχων ἐστεμμένος,
ὡς ὄρνις οὐρανόθρεπτος, πέλεια χρυσοπτέρυξ,
γενναίως ἀναπτήσειας ἐς οὐρανοῦ λειμῶνα
μετὰ βαθὺ, καὶ λιπαρὸν, πανεύδαιμον τὸ γῆρας. 106

Ἔχει καὶ ἄλλους εἰς αὐτοὺς τοὺς δύο ἡγεμόνας στίχους, καὶ τοὺς ἄφηκα διὰ βραχυλογίαν· ἔχει καὶ παραινετικὰ τετράστιχα, τἄφηκα καὶ αὐτά, δὲν τὰ ἔγραψα, καὶ γράφω τὰς ἐπιστολὰς, ὁποῦ ὁ μακαρίτης ζῶντας σεμέμα ἔγραψε, καθὸ γραφῆς ἀξίας διὰ τὴν σύνταξιν, καὶ τὰς ὑποθέσεις.

Aceste versurĭ nepresentând nicĭ un interes istoric special pentru noĭ Românii, le am dat numaĭ în original.

---

Γεώργιος Κυρίῳ Κωνσταντίνῳ τῷ δευτέρῳ γραμματικῷ, ἀνδρῶν λογίῳ ἐρασμιωτάτῳ, εὖ πράττειν.

ά.) Ἔμελλεν ἄρα καὶ φοιτητὴς οὐχ' ἁπλῶς, οὐδὲ τῶν τυχόντων, ἀλλὰ καὶ τῶν προὐχόντων, καὶ μάλιστα ξυνήθων, ἐπιλαθέσθαι καθηγητοῦ φιλοῦντος οὐ μόνον, ἀλλὰ καὶ ὑπερφιλοῦντος, ὡς ἔγνωσται ἡλίου φανώτερον, καὶ οὐδὲ ψιλοῦ προσρήματος ἀξιῶσαι,, καὶ ταῦτα δυστυχήμασι προσπαλαίσαντος, καὶ νόσῳ λοιμώδει καταχρασθέντος, καὶ ὑπερορείου γεγονότος, καὶ διαιτωμένου ἐν ὄρεσιν· ἡνίκα οὐ μόνον τὸν προσφοιτήσαντα, καὶ τὰ εἰκότα φιληθέντα, ἀλλὰ καὶ τὸν ἁπλῶς ἐγνωκότα, καὶ θέας μόνης καὶ ὁμιλίας κεκοινωνηκότα, κατοικτεῖραι προσῆκε, καὶ συνάχθεσθαι καὶ μεμνῆσθαι συνεχῶς, ἐπιστεῖλαί τε καὶ παραμυθήσασθαι; Ἀλλὰ τούτων ἁπάντων τὸ ἀνώμαλον τῆς τύχης, ὡς οἶμαι, παραίτιον· αὕτη γὰρ ὑμᾶς μὲν ἐν ἀρχείοις τὰς διατριβὰς ποιεῖσθαι ὁσημέραι, καὶ ἡγεμόσι λαμπροτάτης συνεῖναι, ἀνδράσιν εὐγενέσιν, ἄρχουσι μεγαλοπρεπέσι, λεῷ πολυμιγεῖ τε καὶ πολυγλώσσῳ, φρουράρχαις τε καὶ φρουραῖς περιστοιχεῖσθαι, καὶ ὡς ἔν τινι πολυάνδρῳ τὸ λυποῦν ὑποκλέπτειν θεάτρῳ παρεσκεύασεν. Ἡμᾶς δὲ ἅπαν τοὐναντίον, ἐν ὄρεσι καὶ ὕλαις περιπολεῖν, μετὰ χωρικῶν ἀγραυλεῖν, κολιοῖς τε καὶ κορώναις συγκρώζειν, ἵπποις τε καὶ βουσὶ περιστοιχίζεσθαι, καὶ ἐν πολιχνίῳ περιορεῖσθαι. Ἐν τοσαύτῃ τοίνυν ἀθυμίᾳ, μόνην ἐσχήκαμεν ἂν παραμυθίαν, τὰς παρὰ τῶν εὐνῶν ἐπιστολὰς, ὧν γε ὡς ἐν στερήσει τυγχάνομεν, σὺ αὐτὸς μάρτυς ὁ μᾶλλον πάντων ὀφείλων ἐπιστεῖλαι, καὶ μὴ ἐπιττείλας τὸ σύνολον. Οὕτω παρα-

*Gheorghie Domnuluĭ Constantin al doïlea secretar, ïivĕţatuluĭ între barbaţĭ, prea ïubituluĭ fericire.*

1). Se cuvine óre ca să mĕ uite, nu un simplu elev, nicĭ dintre ceĭ ordinarĭ, ci din ceĭ însemnaţĭ şi încă dintre familiarĭ, pe mine profesorul ce nu numaĭ l-am ïubit, ci şi prea ïubit după cum este ştiut maĭ clar de că Sórele, şi nicĭ măcar de un singur cuvênt să mĕ învrednicesc pe când sunt lovit de nenorocirĭ, şi atins de bóla ciumeĭ, fiind retras şi trăind în munţĭ? Pe când se cuvinea a avea milă, a compătimi şi aţĭ aminti continu, al cerceta şi al mângâea nu numaĭ pre mine la care aĭ învĕţat şi te am ïubit, dar şi pe un simplu cunoscut pe care l-aĭ vĕḑut numaĭ şi aĭ petrecut conversând. Dar causa tuturor acestora este nestatornicia noroculuĭ, socot. Acesta va dispus a vĕ face ḑilnic petrecerile în cancelariĭ, a vĕ întreţinea cu Domnĭ strĕluciţĭ, cu bărbaţĭ nobilĭ, cu boerĭ măreţĭ, cu norod şi variat şi de alt ném, să vĕ înconjuraţĭ de garde şi de ofiţerĭ de gardă şi ca într'un teatru plin de ómenĭ ţi se alungă urîtul. Iar noĭ în totul din contra ne învârtim prin munţĭ şi crângurĭ, trăind cu ţăraniĭ, cloncănind ca coţofanele şi ciórele şi ne încunjurăm de caĭ şi boĭ şi ne mărginim într'un sătuleţ. Deci în ast-fel de întristare singura mângâere am avea epistolile din partea bine-voitorilor, de care suntem lipsiţĭ; tu singur eştĭ martur, care maĭ ales

μυθοῦνται φίλοι τοὺς φίλους; οὕτω μέμνηνται τῶν ἀποδήμων οἱ ἐπίδημοι; τῶν ἀνιωμένων οἱ ἐν εὐθυμίαις; Τὸ σαυτοῦ ἐξελληνιζόμενον ὄνομα, στερέμνιον ἄνδρα δηλοῖ, καὶ σταθηρόν. Μὴ τοίνυν ὦ 'γαθὲ τὰς πράξεις ἀσυμφώνους τῷ σῷ ἀποδείξεις ὀνόματι. Ἀλλά γε τοῖς ἀδόλως φιλοῦσιν ἀδόλως σύνεσο. εὐσταθὴς ἐς φίλους, καὶ φιλίας καὶ ὤν, καὶ δυνάμενος· καὶ χαῖρε φιλίας τιμῶν, θεῖόν τι χρῆμα, καὶ σχὸν ἐν ἰσοζυγίᾳ τὸ εἶναι· ἔρρωσο, καὶ φίλει τοὺς σὲ φιλοῦντας, καὶ μέμνησον τῶν σοῦ μεμνημένων. ᾳψλη, Ὀκτωβρίου ιβ'.

β'.) Τὰ ἔναγχός σοι ἐπισταλέντα μοι γράμματα, τὰ φιλίας ὑπερβαλλούσης, καὶ ἀγάπης ἀνυποκρίτου γέμοντα ἐδεξάμην ἀσμένως, καὶ ἀναλεξάμενος, διεχύθην τὴν ψυχήν, ὅτι ὑγιαίνοντά σε κατήγγελον. Πρὸς δέ, ὡς ἐν ἐσόπτρῳ τούτοις διαυγεστάτῳ, ἐνορῶν τὸ σὸν πρός με ὑπερέχον τοῦ ἔρωτος, ἐμαυτὸν εὐδαιμόνισα, ὡς τοιοῦτον σχόντα φοιτητήν τε καὶ φίλον. Τοῦτο μὲν διπλόης ἄνευ καὶ εἰλικρινῶς ἀγαπῶντα, τοῦτο δὲ αὐτοβουλήτως ὑπείκοντά μοι, καὶ ὑπενδοῦντα. ὡς καθηγητῇ φιλοστόργῳ. ἅδε προεγεγράφειν χαριεντισμοῦ τε καὶ ἀστειότητος ἦν, ἀλλ' οὐκ ἐξεπίτηδες· καὶ γὰρ ἀνέκαθεν ἔρως ὑμῶν σφοδρὸς ἐνέστακταί τε καὶ ἐνεσκίρρωταί μου τῇ ψυχῇ· καὶ οἷον τεῖχος ἀδιάρρηκτον ὑπ' αὐτοῦ ἐν αὐτῇ ᾠκοδόμηται· ὥστε οὐδὲ ταῖς μεγίσταις ἑλεπόλεσι, καὶ κριοῖς στερροτάτῳ ἐστομωμένοις σιδήρῳ, κατασεισθήσεσθαι, ἐφ' ᾧ ἄγαλμα σὸν πάνυ καλὸν ὑπερίδρυται, ὅλους ἀπαστράπτον ἔρωτάς τε καὶ χάριτας· ἴσθι οὖν ὦ λῷστε τὸν σὸν Γεώργιον καὶ φιλήσαντά σε, καὶ φιλοῦντα, καὶ φιλήσοντα. Καὶ ἣν παιδευτὴν ἐσόμενον, διδῷ Θεός, ἐλευθερίων μαθημάτων, ὡς πρότερον· τοῦτο γὰρ ἐμοὶ τῶν εὐκτῶν, καὶ ἐρατοτάτων, ἵν' ἴδοιμί σε τὸν κύκλον τῶν ἐγκυκλίων μαθημάτων ἀπαρτίσαντα, καὶ μή γε τόξον κύκλου, ἤγε ἡμικύκλιον ἡμιτέλεστον γεγραφότα τῶν παιδευμάτων· ἀλλ' ὅλον κύκλον, ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ σημεῖον καταλήξαντα, τῶν ἐπιπέδων σχημάτων τὸ κάλλιστόν τε καὶ πολυχωρότατον. Ἔρρωσο, καὶ εὐτύχει, καὶ φίλει, καὶ ἐπίστελλε, ἵνα τῶν ἴσων ἀξιωθείης.

Τὴν παμφιλτάτην αὐτῆς λογιότητα, καὶ Κωνσταντινικὴν γραμματικότητα ἥδιστα προσαγορεύω καὶ ἀσπάζομαι ἐν Χριστῷ.

γ'). Ἐπεὶ τὰ τῶν φίλων κοινά, φίλοι δ' ἡμεῖς,

datorind să trimiţi, şi n'aĭ trimis de loc. Aşa mângâe amiciĭ pe amicĭ? Aşa 'şĭ amintesc ceĭ rĕmaşĭ de ceĭ duşĭ? De ceĭ ce sufer, ceĭ ce sunt în fericirĭ? Numele tĕŭ grecisat însamnă bărbat neschimbător şi statornic. Decĭ, amice, nu arĕta numele tĕŭ neconform cu faptele, ci fiĭ sincer cu ceĭ ce te ĭubesc în sinceritate, constant în amiciţie cu amiciĭ şi să fiĭ şi să te arĕţĭ, şi te bucură respectând lucru D-deesc şi să aĭ în cumpănă pre *a fi*. Fiĭ sănătos şi ĭubeşte pre ceĭ ce te ĭubesc, şi aminteşte de ceĭ ce'şĭ amintesc de tine. 1738. Octomvrie 2.

II). Epistolele ce cu grăbire mĭ-aĭ trimis ce sunt pline de o amiciţie nemĕsurată şi de o ĭubire neipocrită, le-am primit cu plăcere şi cetind mĭ-a înveselit sufletul pentru că'mĭ vestĭaŭ că eştĭ sănătos. Pe lângă acésta, ca într'o oglindă strĕvĕḑĕtóre zăream ĭubirea cea abundentă a ta către mine, că sunt fericit pentru că am ast-fel de elev şi amic; pe de o parte pentru că fără duplicitate şi sincer mĕ ĭubeştĭ, ĭar pe de alta că benevol mi te supuĭ şi mĕ 'ascultĭ ca pe un profesor şi ĭubitor de elevĭ. Iar aceea ce am scris era graţiosităţĭ şi glume şi nu seriosităţĭ. Căcĭ în tot-déuna dragostea puternică către voĭ mĭ-a întărit şi mĭ-a împuternicit sufletul meŭ şi ca un zid nesurpat mi se zideşte de ĭubire, în cât nicĭ cu cele maĭ marĭ maşinĭ şi berbecĭ de fier prea tarĭ n'ar putea s'o sgudue, pe care statua ta se razimă fórte bine, strĕlucind tuturor ĭubire şi graţie. Decĭ cunoştĭ, o amice, pe Gheorghie al tĕŭ ce te-a ĭubit, te ĭubeşte şi te va ĭubi. Şi dacă va da D-ḑeŭ şi voĭ maĭ fi profesor de ştiinţele libere, ca maĭ în trecut (căcĭ acésta'ĭ dorinţa mea cea maĭ aprinsă) ca să te vĕd, că aĭ terminat ciclul ştiinţelor Enciclopedice, şi nu o parte numaĭ a cicluluĭ orĭ un semiciclu pe jumĕtate desĕvĕrşit cuprinḑĕnd studiile; ci tot ciclul începĕnd de la un ştiut semn şi terminându-se tot acolo, cel maĭ perfect şi cel maĭ estins din formele liniilor dintr'un cerc. Fiĭ sănătos şi fericit şi ĭubeşte şi trimete epistole pentru ca şi tu să te învrednicestĭ aseminea.

*Salut şi sarut în Christos pe prea ĭubitul învĕţat şi secretar Constantin.*

3). Fiind-că amicilor sunt tóte comune,

κοινὰ ἄρα τὰ καθ' ἡμᾶς, ἀνθ' ὧν ἐξυφάνσι σοι δεῖν ἔγνων τὰ κατ' ἐμὲ ἵνα εἴης χαίρου, ὡς ἀλλοτριοφρονῶν, (ὅπερ οὐδ' εἰς νοῦν ποτ' ἀνέλαβον) ἢ ἀχθόμενος, ὡς σαυτοῦ τἀμὰ λογιζόμενος· οἶσθα τοῦ ἡμετέρους σκήνους τὸ ἀδρανὲς, καὶ πρὸς τὰς νόσους εὐκατάφορον, καὶ περὶ τὰς ἰάσεις δυσανάκλητον· καὶ ὥς γε καταποτίοις, καὶ ἑτέροις ἰατρῶν φαρμάκοις ὑπερείδε τότε, καὶ ἀνελαμβάνετο· νῦν δὲ τὸ μὲν σαρκίον ταὐτὸ περιφέρομεν, διὰ δὲ τὸ ὀρεσιτροφεῖσθαι, καὶ πόρρω πη ἀποπλανᾶσθαι πόλεως, φαρμακοπωλείου, καὶ ἀκεστόρων, τῶν ἀλεξινούσων ὑστερούμεθα φαρμάκων. Ἔπεισι τοίνυν, τῷ μὲν σκήνει νοσάζεσθαι, ἀσχάλλειν δὲ τῇ ψυχῇ, καὶ τῶν ἀνιώντων ἀπαλλαγῆναι οὐχ οἷόν τε. Ἄκος ἕν μοι διὸ ὑπολέλειπται, ἐὰν τὰς ἐν ὄρει διατριβὰς, καὶ πρὸς τὴν σώσουσαν πόλιν κατιέναι, θείᾳ δέτε συνάρσει, καὶ ἰατρῶν ἐπικουρίᾳ τὴν ὑγείαν ἀνακαλέσασθαι. Ἔμπαλιν δέ με κατορρωδεῖν, καὶ ὑποτρέσαι, καὶ τὴν ὁρμὴν ἀναστέλλειν παρασκευάζει, τὸ τῆς ἐπαπειλούσης νόσου λοιμῶδες, τὸ δίκην ἐφαπλωθὲν τοῦ τληπαθοῦς Βουκουρεστίου νέφους ἰώδους, καὶ πᾶσαν ἡλικίαν καταφαρμάξαν, καὶ ἐκθερίσαν. Ἀνθ' ὅτου δεῖν ἔγνωκα περὶ τῆς ἡμῶν πρὸς ἡμᾶς ἐπανελεύσεως πυνθάνεσθαι, εἴγε τὸ θεῖον κράτος τὸ τῆς νόσου ἤμβλυνε κέντρον, καὶ, εἴμε δυνατὸν, ἀνοιμωκτεὶ ἐπανιέναι ἔρρωσο.

δ'). Προφητικαί τε, καὶ εὐαγγελικαὶ διακελεύονται φωναὶ, τοῖς μὲν δεομένοις ἀμελητὶ τὴν κατὰ δύναμιν ἐπικουρίαν προσάγειν· πάντων δὲ μάλιστα τοῖς ἐξ ἑτέρας θρησκείας εἰς τὴν ἡμετέραν μετασκευαζομένοις, καὶ ἐκ τῆς ἀγριελαίου εἰς τὴν καλλιέλαιον μετεγκεντριζομένοις. Γνοὺς τοίνυν σαυτὸν προθυμότατον ἐκπληρωτὴν τῶν τοιούτων θείων φωνῶν, πέπομφά σοι τὴν δὲ τὴν ἀναφορὰν ἐγχειρίζειν τῷ ἡγεμόνι, καὶ ἐκτελεῖν τὸ ζητούμενον. Ἔξεστι δέ σοι ῥαδίως τοῦτο κατεργάσασθαι, κοινολογουμένῳ μετὰ τοῦ ὅλως πνέοντος ἔλεος, καὶ εὐποιΐαν ἡγεμόνος· ὅπερ διαπραξάμενος, χαριέστατος ἔσῃ Θεῷ τε τῷ ἐλεήμονι, κἀμοὶ τῷ ἀξιοῦντι, καὶ Ἰακώβῳ τῷ λίαν χρῄζοντι τῆς σῆς βοηθείας· ἔρρωσο.

Τῷ παμφιλτάτῳ μοι τῶν φοιτητῶν, καὶ φίλων,
Κυρίῳ Κωνσταντίνῳ ὑγείαν τε καὶ σωτηρίαν
καὶ τὴν τῶν ποθουμένων ἐπίτευξιν.

έ). Ὀστρέων ἐφίεμαι τὸν ἀπὸ τῆς βασιλευούσης, ὧν τυχεῖν, ἐμοὶ δυσχερὲς, διὰ τὸ ἄποθεν οἰκεῖν τῶν ἀρχείων, ἐν οἷς ταῦτα συγκομίζονται· ὅθεν

noĭ suntem amicĭ, prin urmare ale nóstre sunt comune. Pentru care socotind, că tu nu trebue să râvneştĭ asupra mea, ca să te veseleştĭ ca unul ce cugetĭ alt-fel (lucru ce nicĭ mĭ-aŭ trecut prin minte), s'aŭ că te necăjeştĭ ca cugetând cele ce sunt ale mele a fi ale ale. Cunoştĭ slăbiciunea corpuluĭ meŭ şi că'ĭ plecat spre bóle şi cu anevoe de îndreptat prin medicamente şi că se sprijină şi susţiue prin bĕuturĭ şi alte medicamente de ale doctorilor. Iar acum am tot acel corp, dar pentru că trăesc în munţĭ şi sunt prea îndepărtat de farmaciele oraşuluĭ şi de medicĭ, sunt privat de medicamente preservative. Decĭ fiind-că cu trupul sunt bolnăvicios, ĭar în suflet mĕ mulţumesc, şi că nu'ĭ cu putinţă a scăpa de supărărĭ, de aceea un léc îmĭ lipseşte, lăsând petrecerea mea din munţĭ şi venind în oraşul mântuitor, cu ajutorul luĭ D-ḑeŭ şi cu îngrijirea doctorilor să'mĭ recapăt sănătatea. Din contra mĕ tem prea mult şi ca nu cumva să nu mĕ întorc înapoĭ şi să 'mĭ oprescă pornirea ciuma de bólă ameninţătóre, ca una ce s'a întins norĭĭ otrăvitorĭ asupra nenorocituluĭ Bucureştĭ răpind şi secerând tótă vrêsta. Pentru care socot, că trebue să întrebĭ despre venirea nóstră la voĭ, dacă boldul bóleĭ s'a înfrânt în puterea luĭ D-ḑeŭ, şi dacă 'ĭ cu putinţă ca eŭ să mĕ întorc fără primejdiĭ. Fiĭ sănătos.

4). Cuvintele şi cele profetice şi cele evangelice ordonă de a da curênd după putere ajutor celor ce aŭ nevoe; tuturor dar maĭ ales celor ce de la altă religie a venit către a nóstră şi s'a altuit cel sĕlbatec în maslin bun. Cunoscêndu-te pe tine gata îndeplinitor unor ast-fel de cuvinte D-ḑeeştĭ, ţi am trimis ţie acéstă jalubă de a o înmâna Domnitoruluĭ şi a îndeplini cererea. Îţĭ este cu uşurinţă ţie a sĕvêrşi acésta, vorbind cu Domnitorul care'ĭ cu totul plin de milă şi bine facere; care lucru desĕvêrşindu-se veĭ fi bine plăcut Milostivuluĭ D-ḑeŭ, mie celuĭ ce pretind şi luĭ Iacob celuĭ ce are fórte mare nevoe de ajutorul tĕŭ, fiĭ sănătos.

*Prea ĭubituluĭ meŭ între studenţĭ şi amicĭ,*
*Domnuluĭ Constantin, sănătate şi mântuire*
*şi îndeplinirea celor dorite.*

5). Doresc de stridiĭ de acele din Constantinopol, de care 'mĭ este cu greŭ a găsi, pentru că locuesc departe de deposit, unde

αὐτὸς, ὡς ἐν ἀρχείοις οἰκῶν, καὶ φίλος ὤν, καὶ φίλους πλουτῶν, μάλιστα τοὺς ταῦτα κομίσανταις, πέμψεις, οἶδα, λαβὼν, παρ' ὧν οἶδας· ἔρρωσο φίλτατε.

στ'). Ὁ μὲν πατριάρχης Ἰσαὰκ, ὦ φίλων ἄριστε, πρῶτον εἱστιάθη, ἔπειτα τὴν εὐλογίαν τῷ ἑστιάσαντι παρέσχετο. Ἐγὼ δὲ καὶ πλεῖον τοῦ Ἰσαὰκ ποιήσω, ὡς τῆς νέας χάριτος τελῶν, ἐκεῖνος δὲ τῆς ἀρχαίας, Καὶ πρὶν φαγεῖν, καὶ πρὸ τοῦ τῶν ὀστρέων ἀπογεύσασθαι, παρέχω σοι τὴν εὐλογίαν δαψιλεστάτην· οὐ γὰρ δρόσον οὐράνιον, καὶ ποιότητα γήϊνον κατεγνῶμαί σοι. Ἀλλὰ δέομαι Ὀλυμπίου ἄνακτος ἵνα σχοίης ἀμετάπτωτον τὴν ὑγείαν, προβιβασμὸν ἐπὶ τὰ τελεώτερα τῆς τε μαθήσεως, τῆς τε ἀξίας, καὶ τῆς ἐν Θεῷ προκοπῆς καὶ αὐξήσεως. Εὔθυμός τε διατελοίης, καὶ εὐεργετικὸς, καὶ περιφανὴς, καὶ καταθυμίοις ἐν ἅπασιν ἐπιτυχής. Ἔρρωσο φίλτατε, καὶ αὖθις καιροῦ δραξάμενος τοιούτου, μέμνησο τοῦ σοῦ Γεωργίου.

ζ'). Ἀπὸ τὸ μεγάλωμα τοῦ χάρτου ἐκατάλαβα τὸ, πῶς γραμματικὸς αὐθεντικὸς ἔστιν ὁ πέμψας τὰ δῶρα ἀπίδια, διὰ τὰ ὁποῖα εὐχαριστῶ πολλὰ, ὅτι καὶ τ' ἀπίδια πολλά. Διπλοῦν τὸ δῶρον, τὸ μὲν ὕδιστον, τὸ δὲ ξηρὸν, καὶ στερέμνιον· ὧν τὸ μὲν ἡδὺ, τῆς ἀδόλου φιλίας, καὶ ἀκραιφνοῦς διαθέσεως, καὶ εἰλικρινεστάτης ἀγάπης ἐστὶ τεκμήριον· τὸ δὲ στερεὸν, τὸ τῆς φιλίας στερέμνιον, καὶ μόνιμον, καὶ εὐπαγὲς ὑποδηλοῖ, καὶ οἷον ἀκράδαντον, καὶ ἀπερίτρεπτον· τὸ δὲ πόρρωθεν, καὶ ἀπὸ Στεφανουπόλεως (Μπρασοβὸ) τελεῖν τὰ δῶρα. σημεῖον ὑπάρχουσι τῆς πρὸ πολλῶν ἐτῶν ἡμῶν φιλίας, καὶ διαρκεσούσης ἐπιμήκιστον· ζῆθι ἐς μακραίωνας τριπόθητε τὸν σοὶ ὁμωνυμοῦντα, ἐμοὶ δὲ ἄκρᾳ φιλίᾳ ᾠκειωμένον ἄρχοντα ἄγαν κύριον Κωνσταντῖνον (τὸν προγραφέντα Ξυπόλυτον Ζαγοριανὸν λέγει) προσκυνῶ.

Τὴν λογιότητά της ἄρχον γραμματικὲ, κύριε Κωνσταντῖνε Δαπόντε ὁλοψύχως ἀσπάζομαι, καὶ πατρικῶς περιπτύσσομαι.

η'). Χθὲς λαβὼν παρὰ τοῦ παιδὸς τὸ ραβάσιόν της, εἰ καὶ ἐτρώθην τὴν καρδίαν, ἀλλ' ἐνασχολούμενος μετὰ τοῦ ἄρχοντος ἰατροῦ σινιὸρ Δεπάστε, δὲν εἶχα εὐκαιρίαν νὰ ἀποκριθῶ, καὶ ἂς ἔχω συγγνώμην· νῦν δὲ συλλυπούμενος πατρικῶς διὰ τὴν ἀνιαρὰν ἀγγελείαν τῆς εἰς Κωνσταντινούπολιν ἀποδημίας τοῦ μακαρίτου αὐταδέλφου της, καὶ ἱεροδιακόνου Φιλοθέου εἰς Κων/πολιν γενομένης, τοῦτο συντόμως λέγω, ὅτι κἀγὼ συναλγῶ, καὶ οἰκτείρω τὸ πάθος, καὶ ταλανίζω ἀδελφὸν, τοιοῦ-

se aduc acestea. Decĭ tu ca unul ce trăeştĭ la deposite şi 'mĭ eştĭ amic şi bogat de amicĭ, maĭ ales de aceştĭ ce le aduc acestea, 'mĭ veĭ trimite de sigur prin cine ştiĭ. Fiĭ sănătos amice.

6). Patriarhul Isac, o ĭubite amice! Întâĭ a mâncat şi apoĭ a dat bine-cuvêntare celuĭ ce a mâncat; ĭar eŭ voiŭ face şi maĭ mult de cât Isac, ca fiind sub noul har, pe când acela sub cel vechiŭ. Şi înainte de a mânca şi înainte de a gusta din stridiĭ, îţĭ daŭ cea maĭ îmbelşugată bine-cuvêntare. Căcĭ nu 'ţĭ doresc ţie desfătarea cerêscă şi calitatea pămêntêscă, ci mĕ rog regeluĭ Olimpuluĭ ca să fiĭ continu sănătos şi să progresezĭ tot maĭ mult în învĕţătură şi demnitate şi în înaintarea şi sporirea cea în D-ḑeŭ şi să fiĭ vesel bine-făcĕtor, însemnat şi câştigător de tóte dorinţele cele bune. Fiĭ sănătos amice, şi de câte orĭ aĭ timp aduţĭ aminte de Gheorghe al tĕŭ.

7). De pe mărimea hârtieĭ am înţeles, că cel ce mĭ-a trimis presentul de pere este secretar Domnesc, pentru care îţĭ mulţămesc mult, pentru că şi perele sunt multe. Darul este îndoit, pe de oparte dulce, pe de altă uscat şi tare. Decĭ dulcele este dovada de vorbire sinceră şi de o dispoziţie de amiciţie nevicléna şi adevĕrată; ĭar tăria arată soliditatea amiciţieĭ, persistentă şi tare, adică nestricată şi neprefăcută. Apoĭ de departe a-mĭ trimite presente, de la Braşov, este semn a amiciţieĭ nóstre ceĭ de mulţĭ anĭ şi care va continua cât maĭ mult. Să trăeştĭ la mulţĭ anĭ mult ĭubite. Mĕ închin celuĭ cu un nume ca tine, şi cu care am trăit în cea maĭ mare prietenie boeruluĭ Aga Constantin. (Aminteşte pe cel ḑis maĭ sus Zagorianul Xipolit).

*Salut din suflet şi parinteşte îmbrăţişez pe învĕţatul, boerul secretar Domnul Constantin Daponte.*

Erĭ luând de la servitor epistola ta, de şi mi s'a rănit inima, dar ocupându-mĕ cu boerul doctor Senior Depasta, n'am avut timp să'ţĭ rĕspund, şi să am ertare. Acum însă compătimind cu tine părinteşte pentru întristătórea veste a reposăreĭ în Constantinopol a fericituluĭ tĕŭ frate şi Ierodiacon Filoteiŭ întêmplată în Constantinopol, acésta ḑic în scurt, pentru că şi eŭ compătimesc şi regret suferinţa, şi deplâng de mórtea unuĭ ast-fel de frate prea

τον φίλτατον ἀδελφὸν ἀποβεβληκότα, καὶ μηκέτι τοῦτο ὀψόμενον. Ἀλλὰ τί τούτων ὄφελος; τί δὲ καὶ τὸν ἀπελθόντα τοῖς θρήνοις ὀνήσαιμεν; τοιγαροῦν ὡς νουνεχὴς, καὶ πεπαιδευμένος, ἀνάλαβε σεαυτὸν, καὶ ἐπὶ τῷ τοιούτῳ φιλοσόφησον πάθει· θνητοὶ γὰρ πάντες ἐσμὲν, καὶ ἐπίκηροι, καὶ ὁδὸν τὴν αὐτὴν πορευόμεθα ξύμπαντες, εἰ καὶ ὁ μὲν τάχιον, ὁ δὲ βράδιον. Ἐκεῖνος οὐκ ἔτι ἀναστρέψει εἰς ἡμᾶς, ἀλλ᾽ ἡμεῖς πρὸς αὐτὸν ἀπελευσόμεθα· ὡμολόγει τοίνυν τῷ κρείττονι χάριτας, ὅτι τὸν σαυτοῦ ἀδελφὸν ἐκ τῶν τοῦ βίου τούτου ἀνωμαλιῶν καὶ κλυδώνων ἀνήρπασε, καὶ ἐν τῇ οὐρανίῳ μακαριότητι προσελάβετο. Ἔρρωσο τοίνυν τὸ ἀπὸ τοῦδε ἀλύπως, καὶ φιλοσόφῳ φρενὶ σαυτὸν παραμύθησον.

Ἰδοὺ δὲ καὶ τὸ ἐμὸν πρὸς αὐτὸν εὐτελὲς, καὶ ἀτελὲς πονημάτιον· ἀφ᾽ οὗ ἔξω ἀπὸ τὴν Τζάραν, ὁποῦ ἦτον φευγάτος διὰ τὴν πανοῦκλαν, ἦλθεν εἰς Βουκουρέστιον, καὶ μετ᾽ ὀλίγον ἀπὸ φίαγγον ἀπέθανεν· ὁ Θεὸς νὰ τὸν ἀναπαύσῃ.

Ἔμελλεν ἄρα, Πανιερώτατε, καὶ θεοπρόβλητε μητροπολῖτα, εὐγενέστατοι ἄρχοντες, χρήσιμοι πραγματευταὶ, περίλυποι συμμαθηταὶ, καὶ ἅπας ὁ τοῦ Κυρίου λαὸς περιούσιος. Ἔμελλε, λέγω, ἡμῖν, καὶ τοῦτο τῆς τληπαθοῦς Βλαχίας τὸ ἀπολειφθὲν κάλλος ἰδεῖν ἀμαυρούμενον, τῆς ἐκτακείσης ἀρούρας τὸν πολύχουν στάχυν ἐκθερυζόμενον, τὸ ἀγλαόκαρπον δένδρον τοῦ κατανεμηθέντος λοιμῶνος ἀπορριζούμενον ἐκρυῆσαν τὸ ἄνθος, καὶ τῆς κυψέλης τὴν σοφὴν ἀποπτύσασαν μέλισσαν, καὶ τῷ ἐπουρανίῳ προσφοιτήσασαν μελισσῶνι, μελισσουργήσασαν ἐπὶ γῆς τῶν μελισταγῶν ἐπιστημῶν τὴν ὑπὲρ μέλι καὶ κηρίον διδασκαλίαν καὶ ἔκδοσιν. Βαβαὶ τοῦ κακοῦ, φεῦ τῆς συμφορᾶς, οἴμοι τῶν δεινῶν! ὑπέστης μὲν γὰρ, ὢ ἱερὸν πέδον, ὀρθόδοξος γῆ, ὀνομαστὴ Βλαχία, ὑπέστης δεινὰ, καὶ πέρα δεινῶν κακοῖς προσωμίλησας! Κατανικαὶ ἔφοδοι τοῦ σοῦ προσώπου τὸ κάλλος ἀνήλωσαν, τῶν ἐκ τῆς Ἄγαρ τὰ ὅπλα τὸ στῆθος κατῆραξαν, τοὺς μαστοὺς ἡ Ταταρικὴ λύσσα ἀπέθλιψε, τὴν νηδὺν ὁ πικρὸς λοιμὸς συγκατέστειλεν, ἡ πανώλης τὰς χεῖρας ἀπέταμεν, ἡ φλογινὴ ρομφαία (πυρκαϊά) τὴν κόμην ἐκείρατο. Ἀλγεινὰ ταῦτα πάντως, καὶ δύσποιστα, καὶ ἱκανὰ ἐκπλῆξαι ἀκοήν τε καὶ ὅρασιν! ἀλλ᾽ οὔπω τὴν καρδίαν ἐτέτρωσο, οὔπω τὰς ὄψεις πεπήρωσαι.....

Τοῦτον τὸν ἄνθρωπον, ὡς καλὸν ἄνθρωπον καὶ διδάσκαλον, καὶ ἀστεῖον, τὸν ἀγαποῦσαν πάντες οἱ ἄρχοντες, πρὸ πάντων δὲ ὁ πάντων ἐξαίρετος Δουδέσκουλος, περὶ οὗ ἔπρεπε νὰ γράψω εἰς τὴν σειρὰν τῶν ἀρχόντων, καὶ ἀλησμόνησα· ἰδοὺ δὲ τὸν γράφω ἐδῶ.

Iubit și pe care nu'l voĭ maĭ videa. Dar ce folos cu acestea? Ce am folosi pe reposat cu lacrămile? Decĭ ca un om cu minte sănătósă și învĕțat fățĭ curaj, și filosofézǎ asupra acesteĭ suferințĭ. Cu toțiĭ suntem muritorĭ și trecĕtorĭ, și acelaș drum avem al urma cu toțiĭ, de și unul maĭ curênd, altul maĭ târḑiŭ. Acela nu se va reîntórce maĭ mult la noĭ, dar noĭ ne vom duce la el. Decĭ arată mulțămirĭ celuĭ prea puternic pentru că a scos pe fratele tĕŭ din vijeliile și desordinele viețeĭ acestia, și l-a luat în fericirea ceréscă. Fiĭ sănătos dar de acum neîntristat și te mângâe cu judecata filosofică.

*Iata și lucrarea mea catra acela fara valóre și nedesĕvêrșită, dupa ce afara din Țara, unde era fugit din pricina ciumeĭ, a venit în Bucureștĭ și curênd a murit de diabet. D-ḑeŭ sa'l odihnésca.*

Era óre Preasfințite și de D-ḑeŭ păzite Mitropolite, prea nobililor boerĭ, comercianțĭ trebuitorĭ, triștilor conșcolarĭ și tot poporul ales a luĭ D-ḑeŭ, era óre vĕ repet să videm și acéstă nenorocire a Valahieĭ, frumusețа remasă înegrită, smuls spicul cel bogat din brasda topită, smuls arborele cel fructifer de distrugĕtórea cĭumă, flórea dispărută și înțelépta matcă sburată din fagurĭ și îndreptându-se către matca ceréscă, producênd miere pre pămênt din dulcețile științelor prin învĕțătură și compunere, mierea și céra cea maĭ dulce! Vaĭ! câtă rĕutate! Vaĭ câtă nenorocire! Vaĭ câtă întristare! Căcĭ aĭ suferit, o sântă țară, pământ ortodox, renumită Valahie, aĭ suferit întristare și maĭ mult de cât întristare, stând în împrejurărĭ grele! Năvălirile din partea învingĕtorilor asupra țăreĭ tale țĭ-a vestejit frumusețа, țĭ-a sdrobit pieptul sabia celor din Agar, țĭ-a stors țițile turbarea tatarică, te a împuținat amara cĭumă, țĭ-a tăiat mânele pesta, focul consumator țĭ-a ars cóma. Durerόse sunt tóte aceste și de jelit și îndeajunse se spărie orĭ ce auḑire și vedere! Dar încă nu țĭ-a vulnerat inima, încă nu țĭ-a strivit vederile....

Pe acest om ca bun bărbat și profesor și cetățén 'l ĭubiaŭ toțiĭ boeriĭ maĭ ales cel maĭ escelent Dudescu, despre care trebuea să scriŭ la rândul boerilor, dar am uitat. Dar ĭată îl scriŭ aicea [149].

Κωνσταντῖνος Δουδέσκουλος· οὗτος εἰς τοὺς κατὰ καιρὸν αὐθέντας τῆς Βλαχίας ἐστάθη καὶ σπαθάρης, καὶ λογοθέτης, καὶ Βόρνικος, καὶ μπάνος, ἐτιμήθη μὲ ταῖς μεγαλείτεραις ἀρχοντίαις, ὡς ἄξιος καὶ ξεχωριστὸς ἀπὸ ὅλους· ἦτον γὰρ ἄνθρωπος μεγαλοπρεπὴς, ὡς ἦτο καὶ μεγαλόσωμος, καὶ πολιτικὸς, καὶ καλογερικὸς, εὐλαβὴς, φιλακόλουθος, φιλόπτωχος, καὶ φιλομόναχος. Μὲ ἔδωκεν, ὅταν ἥμουν εἰς Βουκουρέστι μὲ τὸ τίμιον ξύλον, ὡς πεντακόσια γρόσια· ὑπεσχέθη, ἔβαλε καὶ μετάνοιαν εἰς τὸ τίμιον ξύλον, νὰ ἔλθῃ μαζί μου εἰς τὸ ἅγιον Ὄρος, τὸν ἐμπόδισε δὲ ἕνας ἱερομόναχος, καὶ ἔμεινεν· ἔγινε δὲ καλόγηρος, καὶ μετωνομάσθη Κλήμης, καὶ ἀπέθανεν· ὁ Θεὸς νὰ τὸν ἀναπαύσῃ· τοιοῦτος ἄρχωντας Βλάχος καὶ Μπόγδανος δὲν ξαναγεννᾶται!

Ἀλέξανδρος Λαρσινὸς, διδάσκαλος, διάδοχος Γεωργίου, μαθητὴς δὲ καὶ αὐτὸς τοῦ ῥηθέντος Μακαρίου τοῦ Πατμίου.

Δημήτριος Μωραΐτης Νοταρᾶς, ἀνεψιὸς Χρυσάνθου τοῦ πατριάρχου, ἰατροφιλόσοφος, ἀμφοτεροδέξιος, ἤγουν ἐπιστήμων εἰς τὰ ἑλληνικὰ καὶ λατινικὰ, ἀπέθανεν εἰς τὸ Βουκουρέστι· ὁ Θεὸς νὰ τὸν ἀναπαύσῃ. Τοῦτος κοντὰ εἰς τὰ ἄλλα μετέφρασεν· ἀπὸ τὸ λατινικὸν εἰς τὴν γλῶσσάν μας, καὶ Γεωγραφίαν, τὴν ἔχω, ἧς ἐπιγραφή. „Σύντομος μερισμὸς τῆς ὑδρογείου σφαίρας“· ἔχει δὲ εἰς τὴν ἀρχὴν τοὺς στίχους τούτους.

Constantin Dudescu. Acesta în timpurile Domnitorilor Valahieĭ a fost şi Spătar şi Logofĕt şi Vornic şi Ban; a fost onorat cu cele maĭ marĭ boeriĭ ca un vrednic şi deosebit între toţĭ, era om imposant dupre cum era şi corpolent, şi politicos, şi călugăros, şi pios, şi ĭubitor de rânduéla bisericéscă, şi ĭubitor de săracĭ şi ĭubitor de monahĭ. Mĭ-a dat când eram la Bucureştĭ cu cinstitul lemn ca cincĭ sute leĭ. A promis, a luat şi hotărîre la cinstitul lemn să vină împreună cu mine la Sântul Munte, dar l-a împedecat un ieromonah şi a rĕmas. Şi s'a călugărit şi s'a numit Climent şi a murit. D-ḑeŭ să'l repauseze. Ast-fel de boer Valac şi Moldovan nu se maĭ arată [150]).

Alexandru Larisiu, profesor, succesor luĭ Gheorghie, elev şi acesta a amintituluĭ Macarie Patmianul [151]).

Dimitrie Morait Notara, nepot luĭ Chrisant Patriarhul, filosof şi doctor, învĕţat în în ambele, ştiia greceşte şi latineşte, a murit în Bucureştĭ. D-ḑeŭ să'l odihnéscă. Acesta pe lângă altele a tradus din latineşte în limba nóstră şi Geografia (o am) a căruĭa titlu este: *Scurtă împarţire a sfereĭ pămênteştĭ*; are la început stihurile următóre:

---

Γεωγραφία σύντομος φωνῆς ἐκ λατινίδος
εἰς τὴν Ἑλλάδα τὴν ἁπλῆν καλῶς μεταφρασθεῖσα
παρὰ σοφοῦ ἀκέστορος, τοὔνομα Δημητρίου
τὸ γένος ὄντος Νοταρᾶ τοῦ Πελοποννησίου,
ἧς ἡ ἐπιδιόρθωσις καὶ κρίσις ἡ τελεία
ἐγένετο νοΐ λεπτῷ τοῦ μακαριωτάτου
ἁγιωτάτου τε πατρὸς, ὁμοῦ καὶ σοφωτάτου
ἱεράρχου προσκυνητοῦ τῶν Ἱεροσολύμων,
δεσπότου, καὶ ποιμάντορος κυρίου κὺρ Χρυσάνθου,
τοῦ ἐπωνύμου πάντως γε ἄνθους χρυσαυγεστάτου,
παρ' οὗ καὶ ἀφιέρωται κυρίῳ Γρηγοράσκῳ *)
Γκίκᾳ τῷ πάνυ, καὶ κλεινῷ, καὶ πανευγενεστάτῳ
τῆς κραταιᾶς τῷ ἑρμηνεῖ μεγάλῳ βασιλείας·
ὃν ὁ τῶν πάντων Κύριος Θεὸς διατηροίη
ἔνδοξον καὶ περίβλεπτον, λίαν τετιμημένον
εἰς ἔτη μαθουσάλια, πανευτυχῆ τε ἅμα,
μετ' ἀγαθῶν τε τῶν λοιπῶν καὶ τῶν καταθυμίων,
μετὰ τῶν οὐρανίων τε ὁμοῦ καὶ ἐπιγείων.

*) Τὸν ἀδελφὸν τοῦ ἀποκεφαλισθέντος Ἀλεξάνδρου λέγει.

---

Αὐτὴ ἡ Γεωγραφία εἶναι ὡς τέσσαρες κόλλαις, ἀξιόλογος δὲ καὶ ἀξιοτύπωτος. Ἔχει καὶ μίαν πλαστὴν ἐπιστολὴν, τὴν ὁποίαν δὲν ἠμπορῶ παρὰ νὰ γράψω καὶ καὶ αὐτὴν, ὡς ἀξίαν γραφῆς καὶ εἶναι αὐτή.

Acéstă Geografie este ca de patru cóle, însemnată însă şi vrednică de a fi imprimată. Are şi o epistolă fantastică, pe care nu pot de cât s'o transcriŭ şi pe acésta, pentru că şi acésta este demnă de a fi scrisă [152]).

Ἐπιστολὴ πρὸς φιλόσοφον, ἐν ᾗ περιγράφεται οἰκία ἐρημική.

Εἴχαμεν χθὲς ἡμέραν, ἡ ὁποία ὡμοίαζε Φίλιππον τὸν Ἀμύντου· διότι ἐμποδίζωντας τὰς ἀκτίνας τοῦ καυστικοτάτου φοίβου νέφη, ἐπάνω εἰς τὸν ὁρίζοντα τοῦτον ἐκτεταμένα, ἔγινε μία γλυκυτάτη δρόσος ἀνάμεσα εἰς τὸ φῶς, καὶ εἰς τὴν σκιὰν τόσον, ὥστε μᾶς ἐφάνη ὄχι ἡμέρα καιροῦ· ὅταν ὁ οὐράνιος σκύλος ἀρχηνᾶ νὰ λυσσᾶ μαινόμενος, καὶ ποιεῖ τὰ πάντα πυρίκαυστα, καὶ δίδει ἐρωμανίαν οἶστρον εἰς τὰς γυναῖκας περισσότερον. Ἀλλ' ὅταν αἱ ἀηδόνες ἀπὸ ἐαρινοὺς ἔρωτας ἐρεθιζόμεναι, καὶ ἀπὸ νέαις πρασινάδες παρακινούμεναι, προσκαλοῦσι καὶ νέαις, καὶ νέους, ὡς καὶ τοὺς γέροντας εἰς ἀκοὴν τῆς ἡδίστης φωνῆς, ὁποῦ εἰς τοὺς φραγμοὺς, καὶ εἰς τὰ δάση μουσικόλαλον κάμνουσι τὴν ᾠδήν· μὴ φοβούμενοι λοιπὸν καῦσιν ὁ φιλέρημος, καὶ ἐγὼ, ἐκατέβημεν εἰς μίαν λίμνην, διὰ νὰ τέρψωμεν τοὺς ὀφθαλμοὺς μὲ τὴν θέαν τῶν ὑδάτων, τὰ ὁποῖα ἔχουσι τρεῖς πηγὰς εἰς τόπους ἐξίσης πεδινοὺς, καὶ ἐξίσης εἰς τὴν ποσότητα, καὶ ποιότητα. Ἐπειδὴ, ὡς λέγουσιν οἱ ὀχετηγοὶ, ὁποῦ φέρουσι τὰ νερὰ μὲ σωλῆνας εἰς τὰς πόλεις, ἔχει κάθε μία δέκα οὐγγίας ὕδατος· τὸ ὁποῖον εἶναι τόσον καθαρὸν, ὁποῦ ἠμποροῦσαν νὰ γίνουν καὶ ἄλλοι νάρκισοι νεκροὶ, θεωροῦτες τὰς ἰδίας εἰκόνας. Καὶ ἂν, πρὸ τοῦ νὰ χυθοῦσιν εἰς τὴν λίμνην, ἐσμίγοντο, ἤθελαν κάμῃ αὗται αἱ πηγαὶ ποταμὸν ὄχι εὐκαταφρόνητον, διότι ἠθέλαμεν τὸν ὀνομάσῃ ἄλλον Ἀλφειὸν, ἢ Εὐρώταν. Εἶχε δὲ ἡ λίμνη τόσην γαλήνην, ὅσην ἂν εἶχε τὸ Αἰγαῖον ποτὲ, ἢ τὸ Κάϊρ, δὲν ἤθελε στείλῃ μήτε λινάρι, μήτε ζαχαρικὰ εἰς τὴν Βασιλεύουσαν, καθὼς μήτε ἡ Βενετία, μήτε ἡ Ἰγκλητέρα εἰς τὴν Σμύρνην τὰ χρυσᾶ, καὶ τὰ μάλινα. Ἀντὶ προβάτων, καὶ κτηνῶν εὑρήκαμεν ἀγέλας διαφόρων πτηνῶν· καὶ ἄλλα μὲν ἐβύθιζαν, κυνηγῶντας τοὺς ἀφώνους οἰκήτορας· ἄλλα δὲ ὡσὰν συλλογιζόμενα ἐστέκασιν εἰς τὰ ἀκρόλιμνα, εἰς φιλακὴν τῶν τέκνων· τὰ ὁποῖα ὄντας ἀκόμι ἄπτερα δὲν ἔδερνε τὸν ἀέρα ἀπὸ δύο ἢ τρεῖς πιθαμαῖς περισσότερον. Κλίναντες ἔπειτα κατὰ τὰ ἀρκτῶα, εὑρήκαμεν μίαν νέαν λίμνην, ἡ ὁποία δὲν ἦτον, ὡς ἡ πρώτη, μελάνυδρος, ἀλλὰ μιμουμένη τὸν χρυσὸν, τῶν ἀνθρώπων τὸν τύραννον, ἔκαμνε χρυσοφεγγῆ τὰ αὐτῆς κύματα· τὰ ὁποῖα τόσον ἤδυναν τοὺς ὀφθαλμοὺς, ὁποῦ μὲ ἀπάτην πλησίον μᾶς ἔσυραν, καὶ τὸ θαῦμα ἦτον, ὁποῦ μέσα εἰς τόσον πέλαγος δὲν ἔβλεπες μηδαμῶς ἐξοχήν· αἴτιον δὲ τοιαύτης ἰσότητος εἶναι τὰ ὕδατα τῶν τριῶν πηγῶν· τὰ ὁποῖα οἱ ἐπιμελεῖς γεωργοὶ κατὰ εὐθέτους περιόδους χωρὶς πολλοῦ κόπου στρέφοντες, ποτίζουσιν ἐξίσης τὰ γεννήματα· τὰ ὁποῖα ὄντας σπαρμένα εἰς γῆν ἐξίσης γόνιμον, καὶ ὁμαλῶς εἰργασμένην, τρέφονται ὅλα ἰσοστάσια. Ἀπ' ἐδῶ προβαίνοντες ὀλίγον κατ' ὀλίγον, ἀντικρύζει εἰς τὰ ὄμματά μας μία εὐρυχωροτάτη κοιλὰς, ἥτις ὅμως εἰς τόσον κρυφία, ὁποῦ μόλις γνωρίζεται· διότι πάντοθεν ἀπὸ ὑψηλότατα ὄρη στεφανοῦται, πλὴν μιᾶς ὁμαλῆς πύλης, διὰ τῆς ὁποίας εἶναι τὸ ἔμπασμα. Ἀπὸ αὐτὴν τὴν κοιλάδα, ἀπὸ τὰ πολλὰ δένδρα, ἄλλα ἀειθαλῆ, ἄλλα φιλορροοῦντα, καὶ ἀπὸ τὰ πολλὰ ὕδατα, ἐξορίζεται ἡπερισσὴ ζέστη, καὶ γελῶσι πάντοτε ἡ πρασινάδες· βλέποντες ἡμεῖς τόσην εἰρήνην, ἔχοντες καὶ διάφορον τὴν τῶν πτηνῶν μελῳδίαν, ἐδιετρίψαμεν μὲ μεγάλην, ὅμως ἀθῴαν ἡδονήν. Καὶ τόση ἦτον ἡ γαλήνη, ὁποῦ ἀγκαλὰ καὶ ὁ τολμηρὸς, καὶ αἱμοβόρος Ἄρης συγκροτεῖται εἰς ἅπασαν τὴν Ἑλλάδα μὲ τὰ ἅρματα, ἡμεῖς μηδὲ φωνὴν, μηδὲ ἦχον τοῦ τοσούτου θορύβου δὲν αἰσθανόμεθα. Καὶ στοχαζόμενοι, ἐθαυμάσαμεν, πῶς ὁ πάνσοφος Ἀριστοτέλης δὲν ἤγειρεν ἐδῶ τὸ αὐτοῦ Λύκειον, ἢ τὴν Ἀκαδημίαν του ὁ γενναῖος Ἀκάδημος. Ἐλυπήθην καταπολλὰ ὁποῦ δὲν ἐγεννήθην, μήτε ἀνετράφην ἐδῶ· διότι ἤθελα ἔχῃ περισσοτέραν ὠφέλειαν ἀπὸ τὴν ἄγνοιαν τῆς κακίας, παρὰ ἀπὸ τὴν γνῶσιν τῆς ἀρετῆς· καὶ τοῦτο εἶναι φανερὰ, διότι ὅσοι ἀπὸ τοὺς προπάτορας τὴν ἔρημον ἐκατοίκησαν, μετὰ τὴν τελευτὴν ὅλοι εἰς τὸν οὐρανὸν ἐξαπέταξαν. Μετὰ τὴν διατριβὴν ταύτην ἔσυρα τὸν φιλέρημον εἰς ἕνα μου περιβόλιον· τὸ ὁποῖον ἐγὼ νομίζω ἀπὸ τοὺς κρεμαστοὺς κήπους τῆς Σεμιράμιδος τιμιώτερον· καθὼς ἡ φυσικὴ τροφὴ εἶναι ὠφελιμωτέρα ἀπὸ τὴν κατασκευαστὴν εἰς τὰ σώματα, διότι ἡ φύσις, ὡς λέγει μοι ἡ φιλοσοφία σου, ἀγαπᾷ, καὶ κάλλιον ἀναπαύεται εἰς τὰ ἁπλούστερα. Αὐτοῦ τὸ ῥόδον, ὁ κρῖνος, αὐτοῦ ἡ ἀνεμώνα, αὐτοῦ τὸ ἴον, εἶναι ὁ λαὸς ἐκεῖνος, μὲ τὸ ὁποῖον συνομιλοῦμεν· ἡ βρύσις, καὶ τὰ δένδρα μᾶς κάμνουσι, καὶ αἰσθανόμεθα, ὅτι ἀγροικηκαὶ θεότητες εὐμενῶς ἐφεδρεύουσι τοῦ τόπου, καὶ ἡμεῖς εὐλαβῶς καὶ καθήμεθα, καὶ περιπατοῦμεν· φαρμακερὰ θηρία αὐτοῦ δὲν ἐμφωλεύουσι, φασιανοὶ δὲ, κόσσυφοι, περιστεραὶ, πέρδικαις, καὶ τρυγόνες τοὺς κλάδους βαρύνουσι· καθὼς καὶ τὰ πωρικὰ ἕως εἰς τὴν γῆν τὰ φυτὰ κλίνουσι, μήτε ἀφήνουσι τοὺς καρποὺς, ἐὰν χεὶρ ὀρεγωμένη δεν τοὺς μαζώξῃ. Διότι τὰ στοιχεῖα εἶναι τόσον καλὰ συγκερασμένα, ὁποῦ τὸ ἕνα εἰς τὸ ἄλλο δὲν ἀντιστέκεται· ἀλλὰ γλυκεῖς ζέφυροι παντονινὰ σχεδὸν πνέουσι, βορέας δὲ, ἢ νότος, ἢ ποτὲ δὲν θορυβοῦσιν, ἢ σαγανάκια, καὶ ὀλίγον γνωρίζονται, διότι καὶ τὰ δένδρα, καὶ τὰ ὄρη τοὺς ἐμποδίζουσιν. Εἰς μίαν ἄκραν τοῦ περιβολίου εἶναι κτισμένος ὁ οἶκός μου· τὸν ὁποῖον δὲν στολίζουσι χρυσὸς, καὶ ἄργυρος, μήτε Ἀπελλοὺς, ἢ Φειδίου

θαυμάσια εἰς τοὺς περιέργους τεχνάσματα· μήτε κρύπτεται εἰς αὐτὸν τὸ πολύτιμον τοῦ Ξέρξου κλῆμα, μὲ τὰ ὀλόχρυσα, καὶ τζεβαερένια σταφύλια· μήτε κομπάζεται ἡ εὐρυχωρία τοῦ Παλατίου τοῦ Νέρωνος, μήτε τοῦ Βατικανοῦ ἡ πολύαντρος μηχανή. Ἀλλὰ πέτρα ἁπλῶς πελεκητὴ εἶναι τριῶν οἰκιδίων μετὰ τοῦ γραμματίου, καὶ ὕλη, καὶ κειμήλιον· πλὴν τούτων διὰ ξεχωριστὴν ψυχαγωγίαν ἔχω μέσην οἰκίαν, τὴν ὁποῖαν ἐγὼ ὀνομάζω μουσεῖον μου· ἴσως ἄλλος τινὰς ἤθελε τὴν ὀνομάση ἄντρον τῆς Καλυψοῦς δίας θεάων, ἀγκαλὰ καὶ ἐκεῖνο ὄστρακα, καὶ πῶρα ἐλάμπρυναν. Εἰς τοῦτο φυλακωμένος ἐγώ, διὰ τῶν κτισμάτων, ὡς διὰ κλιμάκων, ἀναβαίνων εἰς τὰ οὐράνια, τόσον ὑψηλὰ μὲ τὴν μελέτην, ὁποῦ ἔχω πάντοτε ἔμπροσθέν μου τὰ κάλλη τὰ ἀνεκλάλητα τοῦ ἐμπυρίνου οὐρανοῦ, ὁ ὁποῖος εἶναι ἡ ἀναμφίβολος τῶν μακαρίων ψυχῶν καθέδρα. Μέσα εἰς τοῦτο ἄλλο δὲν εἶδεν ὁ φιλέρημος παρὰ τὰς ἐννέα Μούσας, τῶν ὁποίων ἡ κάθε μία ἰδίαν ᾠδὴν ἔψαλεν. Ἄλλη δηλαδὴ τοῦ Ἀγαμέμνονος, ἄλλη τοῦ Ἀχιλλέως τοὺς πολέμους, ἄλλη τοῦ Ὀδυσσέως τὴν πλάνην, ἄλλη τῆς Διδοῦς τοὺς ἔρωτας, ἄλλη Ἰάσωνος καὶ Μηδείας, Θησέως καὶ Ἀριάδνης ταῖς ἀγάπαις, ἄλλη Πυράμου, καὶ Θίσβης, Λεάνδρου, καὶ Ἡροῦς τοὺς δυστυχεῖς πόθους· ποῖα τῶν Ἡρώων, ποῖα τῶν ἡμιθέων τὰ κατορθώματα· ἄλλη ἀναβαίνουσα ὑψηλότερα, τὴν τοῦ Ἰκάρου καὶ φαέθοντος πτῶσιν ἐτραγώδησεν. Ἀναμεταξὺ τούτων ἔκαμνε προκαθεζόμενος ὁ φοῖβος Ἀπόλλων τὸ ἐνδόσιμον. Θαυμαστὴ ἡδονή, καθαρὰ ἡδονή· τρυφὴ ἀξία τῶν μακαρίων ψυχῶν, ἐβόα ὁ φιλέρημος· ὢ ὁποίαν ἡμέραν ἔχασες· ὢ φιλόπολι! διὰ ποίαν αἰτίαν ἠμέλησες νὰ ἔλθης εἰς ταύτην τὴν ἔρημον; Ἐγὼ δὲ εἶπα, θέλω νὰ τοῦ γράψω τὰ πάντα, ἴσως καὶ ἀπὸ τὴν ἀνάγνωσιν μισήσει τοὺς θορύβους, καὶ βδελυροὺς ἔρωτας τῆς Πόλεως. Ἐγαίνοντες ἡμεῖς ἔξω ἀπὸ τὸ μουσεῖον, εἴδαμεν, ὅτι ὁ ἥλιος εἶχεν ἀναβῆ ἕως εἰς τὸ μεσουράνημα· καὶ ἀκολουθοῦσε τόσο καλὰ ἡ ἀρχὴ τῆς ἡμέρας ὁποῦ τὸ φῶς δὲν ἤθελε δυνηθῆ νὰ βλάψη τῶν ἀσθενούντων τὰ ὄμματα· μήτε ἤθελε φανῆ εἰς τὰ πρόσωπα τῶν γυναικῶν, ἂν φυσικὴ ἢ τεχνικὴ εἶναι ἡ κοκκινάδα, ἢ ἡ ἀσπράδα ἀλάθαστα. Τοιαύτη κρᾶσις ἀπὸ φῶς καὶ σκότος ἔκαμνεν ἕνα τρίτον καιρόν, ὁποῦ δὲν ἔχει ὄνομα, ἢ ἂν ἔχει σιμὰ εἰς τοὺς σοφούς, εἰς ἐμένα εἶναι ἀγνώριστον. Τότε τὸ σῶμα διὰ νὰ ἀποκτίση τὴν δύναμιν, ὁποῦ ματὰ τὴν νηστείαν ἔχασεν, εἰς τροφὴν μᾶς ἐπαρακίνησε· τὴν ὁποίαν ἐπήραμεν, μετρίαν, καὶ λιτὴν τράπεζαν ἔχοντες, σιμὰ εἰς τὴν δροσερὰν, καὶ κρυσταλλοειδῆ βρύσιν, τρώγοντες λευκὸν ἄρτον, τυρούς, γάλατα, χόρτα ἰαματικά, γλυκύτατα πωρικά, καὶ σβένοντες τὴν δίψαν μὲ τὸ νερὸ τόσο κρύο, ὁποῦ ἐφαίνετο, ὅτι ἡ τοῦ Μαΐου δρόσος ἀπέστιψεν. Ἠμπορούσαμεν νὰ φάγωμεν ἀπὸ κυνήγια ἐξαίρετα· ὅμως ἡ σωφροσύνη τῆς ἐρήμου συνειθίζη νὰ τὰ διαφυλάττη, καὶ ὄχι νὰ τὰ φονεύη, χύνωντάς των τὰ αἵματα. Μετὰ μιᾶς ὥρας συνομιλίας ὀλίγος, καὶ γλυκὺς ὕπνος μᾶς εὔφρανε· καὶ ἀφήνοντες τὸν μορφέα, πάλιν τὴν περιήγησιν ταύτης τῆς ἐρημικῆς μου βασιλείας ἠκολουθήσαμεν· τὴν ὁποίαν δὲν εἶναι δίκαιον νὰ τὴν ἀποξενώση τινὰς ἀπ' ἐμέ· ὅτι ἐγὼ ἤμουν ὁ Κολόμβος ὁποῦ τὴν ηὗρα· ἐγὼ ὁ Φερδινάνδος ὁποῦ τὴν ἐκυρίευσα· μήτε ὅμως φοβοῦμαι τὰ φιλοκερδῆ ἅρματα τῶν Κελτῶν, μήτε τὸν ριψοκίνδυνον τῦφον τῶν Βρετανῶν, μήτε τὰς φιλαργύρους χεῖρας τῶν Βαταβῶν, μήτε τὴν ὑπερηφάνιαν ὀφρὺν τῶν Ἰσπανῶν. Διότι ἡ χώρα ὅλη τῆς βασιλείας μου ὑστερεῖται ἀπ' ἐκεῖνα τὰ μέταλλα, καὶ τὰ βάλσαμα διὰ τὰ ὁποῖα αὐτοὶ τόσα αἵματα ἀθώων δεσποτῶν καὶ βασιλέων ἔχυσαν· καὶ τόσον εἶναι ἀγαπητή, καὶ πολύτιμος, ὁποῦ δὲν ἤθελα νὰ ἔχω μήτε τὸν πατέρα μου συμμέτοχον, μήτε ἄλλον τινά, πλὴν Χρυσάνθου Νοταρᾶ, τοῦ ἀοιδίμου πατριάρχου Ἱεροσολύμων, τοῦ ἀνεψιοῦ, καὶ διαδόχου τοῦ ἀοιδίμου ἐκείνου Δοσιθέου, καὶ Νικολάου Μαυροκορδάτου, τοῦ περιωνύμου ἡγεμόνος Οὐγκροβλαχίας, τοῦ καὶ πρότερον Μολδαβίας χρηματίσαντος, τοῦ υἱοῦ, καὶ διαδόχου τῆς δραγομανίας τοῦ ἀοιδίμου ἐκείνου Ἀλεξάνδρου τοῦ ἐξ ἀπορρήτων· ὅτι αὐτοὶ καὶ οἱ δύο ἠμποροῦσαν ἀναμφιβόλως νὰ αὐξήσουν, καὶ νὰ στολήσουν, τὸ μουσεῖον μου. Ἀγκαλὰ καὶ πολλοὶ νομίζουσιν, ὅτι δὲν εἶναι ἄλλοῦ ἄνδρες ἄξιοι. καὶ θαυμάσιοι, παρὰ ὅσοι πλέουσιν εἰς τὴν Ἑλλάδα ἀπὸ τὸν Ἀδρίαν, καὶ μεσόγαιον· καὶ ὅσοι περιϊόντες τὸν Ρῆνον, καὶ τὸν Ἴστρον, κατεβαίνουσιν εἰς τὴν Θράκην, καὶ Μακεδονίαν· οἱ ὁποῖοι ὅμως ὁμοῦ μετὰ σώματά των καὶ μελέτας μᾶς φέρουσιν ὡς ἐπὶ τὸ πλεῖστον τὸ πολοστὸν μέρος τῆς ἀγρίας, καὶ ψυχροτάτης αὐτῶν ἄρκτου. Διὰ νὰ περιγράψω τὴν ἀρετήν, καὶ σοφίαν τοῦ Χρυσάνθου, ἐτύχαινε νὰ ἔχω γλῶσσαν χρυσῆν, καὶ νοῦν ὁμηρικόν. Διατὶ καθὼς ἀναμεταξὺ τῶν Θεῶν, ὁ Ζεὺς ἦτον κράτιστος, μέγιστος, οὕτω καὶ αὐτὸς ἀναμεταξὺ τῶν τωρινῶν σοφῶν, ἐνομίσθη ὁ ἐξαίρετος ὕπατος. Καὶ καθὼς ὁ ἡγεμὼν Νικόλαος, τοῦ ἦτον φίλος ἀπὸ τῶν ὀλίγων ὁ πρῶτος, οὕτω καὶ εἰς τὴν μάθησιν τοῦ ἦτον ὁ πλησιέστατος· ζεῦγος φήμης πολλῆς, ζεῦγος μνήμης καλῆς, ζεῦγος σοφίας, ζεῦγος ἀξιαγάστου ἀρετῆς· ἦσαν καὶ οἱ δύο πολύγλωσσοι, ὅμως ὁ αὐθέντης Νικόλαος, ὡσὰν ὁποῦ ἐστάθη καὶ δραγομάνος τῆς Βλαχίας, ἐσυνωμίλει μὲ ὅλους τοὺς Εὐρωπαίους, καὶ μὲ πολλοὺς τῶν Ἀσιανῶν εὐφραδέστατα. Ἡ ἐρημία μου ποτὲ δὲν μὲ ἐλύπησε, παρὰ μόνον ὅταν ἤκουσα, εἰς αὐτὴν ὦτας,

Κἀντεῦθεν ἄρα μηθὲν ἂν εἴη καινὸν καὶ ξενίζον, εἴγε καὶ ξυγγραφὴ αὕτη οἷα, ἣν ἔλαχε σπάρταν, ταύτην διακοσμοῦσα, πρύτανι, κηδεμονικώτατα, ἅτε δὴ ὑπὸ τὴν σὴν διατυπωθεῖσα ἀντίληψιν, κἂν δίνῃ χρόνου περιειληθεῖσα, καὶ κύκλου ἐτῶν καμπὴν παραλλάξασα, ὡς σῆς τὰ νῦν ἐναποκειμένης χρηστότητός τε καὶ ἐπιεικείας ἀλέῃ ἀναζωπυρηθησομένη, πρὸς σὲ αὖθις ἥκει τὰ σοὶ κομίζουσα, καί σοι μόνον ἀνηκούσας τὰς κατὰ τὸν σὸν βίον πράξεις ὡς ἀκροθήνια παραθεῖσα.

Καὶ μὴν ταῖς ὄψεσι προσομιλοῦσα τῶν ἀπὸ σοφίας πεπαιδευμένων, ταῦτά γε τῶν ἀμφιλαφῶς κρατούντων, καί, ὧν μὲν τὸ μέγεθος ὑποπτήξασα, ὧν δὲ μὴ ἀνεσχομένη τοῦ τετυφομένου φρονήματος, μάλα μόλις τὸ παράβολον ἀποφυγοῦσα, τὸ σὸν, καί περ ἐν ψελλίσμασι βατταρίζουσα, παρεισδύεται κράτος, ταῖς τῆς κατὰ σὲ εὐμενείας γαληναίοις καὶ μειλιχρίοις νάμασι, καὶ ἐπ' ἠθῶν πραότητι μὴ θορυβουμένοις, ἀλλὰ εὖ μάλα ἠπίοις καὶ ἀτρέμα περιλιμνάζουσι ῥείθροις, ὥς περ ὅρμῳ τινὶ ἐπαναπαυσομένη, καὶ ἠρεμήσουσα.

Καὶ γὰρ εἰ δοξομανίας Ἀλεξάνδρου τοῦ Μακεδόνος Ἀχιλλεῖ ἐπιφθονήσαντος καὶ τῆς καθ' Ὅμηρον ᾠδῆς ἐκεῖνον τετυχηκέναι καταζηλώσαντος, οὐκ ἂν καθήψατο μῶμος, οὐδὲ ἐνίους κατέτρωσε τῶν ἡρώων, κἂν ἰδίοις ὑπομνήμασιν (ἢ Καῖσαρ καὶ Σύλλας) τοὺς σφῶν αὐτῶν ἄθλους ἀποταμιευσάμενοι, τῷ ῥῷ τοῦ χρόνου παρέθεντο, οὐκ ἂν ἤπου εἴη σκολιοῖς τισι καὶ ἐπὶ πᾶσιν ἀποδυσφορετοῦσι, σκευωρίας καὶ ψόγου παρόρμησις, εἰ ἄλλος δή τις, κἂν σοῦ τοῦτο διαμπερὲς ἀναδυομένου, καὶ μὴ τῷ βουλήματι προστιθεμένου, τὰς ἐν τοσαύταις ἡγεμονίαις ἀναφανείσας δήπουθεν πράξεις, τῷ ὡς εἰκὸς διατηροῦντι αἰῶνι ἐπεκδηλῶσαι καὶ παρακαταθέσθαι προέλοιτο.

Πλεῖστοι μέν γε τρόπαια, καὶ ἀνδριάντας ἀναστησάμενοι, καὶ προσπήξαντες σηκοῖς ναοῖς τε καὶ ἄλσεσι, Πυθοῖ τε καὶ ἑκασταχόθι δόρατα καὶ σαρίσσας, πέλτα τε φαρέτρας, καὶ θυρεοὺς, λάφυρα γε ποικίλα ἄσμενοι προσηρτήσαντο, τῇ ἀενάῳ μνήμῃ τοῦ παραρρέοντος χρόνου τἀνδραγαθήματα καθοσιῶσαι βουλόμενοι. Σοῦ δὲ τὸ τῶν οἰκείων σεμνολογημάτων μείλιγμα, καὶ εἰς τῦφον ὑποκνίζουσαν φήμην ἀπολέγοντος καὶ προβαλλομένου· Μὴ δή τις μοι ἐπιφυέσθω τῶν ῥᾷστα κἂν τοῖς θεμιτοῖς δυσανασχετούντων, καὶ λογομάχων, τὰ σὰ ἐπ' εἰκοσαετηρίου σατραπείας ὑποτιθεμένῳ διοικήματά τε καὶ πολιτεύματα.

De aceea póte n'ar fi nicĭ cum ceva noŭ şi straniŭ, dacă şi o scriere ca acésta, înfrumseţând, Principe, prea cu îngrijire partea ce I-a cădut, de óre-ce se întocmisă sub ocrotirea ta, cu tóte că cuprinsă de vêrtejul timpuluĭ, şĭ-a schimbat în cursul anilòr planul, pentru a fi reînsufleţită de căldura bunĕtăţeĭ şi a blândeţeĭ aflătóre acum în tine, ĭarăşĭ la tine veni, aducêndu-ţĭ ale tale şi punêndu-ţĭ înainte, ca nişte premiţiĭ, numaĭ faptele, ce aparţin vieţeĭ tale.

Şi dar punênd în raport cu privirile bărbaţilor înţelepţĭ faptele marilor domnitorĭ şi prea cu greŭ fugind de pericul, pentru că se sfiĭa de măreţia unora şi nu suferia superbia altora, acéstă scriere, deşi gângureşte îngăimat, pătrunde (se mărgineşte) în statul tĕŭ, ca într'un port, spre a se repausa şi linişti în apele cele dulcĭ şi line ale clemenţeĭ tale, şi care pentru blândeţa moravurilor nu se turbură, ci maĭ ales prin curgerĭ line cu totul se alinéză.

Căcĭ dacă nebunie de glorie nu s'a putut împuta luĭ Alexandru Macedonénu, carele a pizmuit şi invidiat pre Achil pentru că a fost cântat de Omer, nicĭ defăimarea n'a rănit pre uniĭ Eroĭ, deşi, descriindu-şĭ luptele lor în comentariele făcute de dênşiĭ (precum Cesar şi Silla), le-a transmis cursuluĭ timpuluĭ; nu ar putea fi de sigur motiv de intrigă şi bănuire unor ómenĭ strimbĭ şi nemulţemiţĭ de tóte, dacă altul óre-care şĭ-ar fi propus a arăta faptele tale cele neîndoĭos manifestate în atâtea domniĭ, şi a le depune seculuhuĭ spre conservarea cuvenită, cu tóte că tu pururea aĭ renunţat şi nu te-aĭ învoit la acésta.

Prea mulţĭ încă şĭ-aŭ ridicat trofee şi statue, şi înfingêndu-şĭ în temple, în edificiĭ sacre şi dumbrăvĭ, la Pitia şi orĭ-unde aĭurea, şĭ-a atârnat cu plăcere suliţile scurte şi cele lungĭ, lăncele, tolbele, scuturile şi felurite prădĭ de resbel, voind aşa a-şĭ consacra vitejiele în memoria perpetuă a timpuluĭ celuĭ trecĕtor. Iar tu renunţĭ la mulţumirea proprielor tale laude şi înlăturĭ faĭma ce înteţeşte la mândrie. Decĭ să nu se acaţe de mine cine-va dintre ceĭ ce prea uşor se idignéză şi dispută chĭar contra celor cuviinclóse, daca îmĭ propun a trata administraţiile şi faptele politice ale Domnieĭ (satrapieĭ) tale *) în timp de douĕ-decĭ de anĭ.

Ταῦτα γάρ τοι ἐθελοντὴς προὐβαλλόμην τῶν ἀνθρώπων τοῖς ἐπιγιγνομένοις, οὐ σοὶ τῷ μὴ περὶ τὴν περὶ αὐτὰ ταῦτα σπουδὴν ἐπτοημένῳ τοῖς ἰδίοις, οὓς τὸ σύννουν καὶ νῆφον τοῦ οἰκείου φρονήματος ἀποπτύεται ἀφοσιούμενον, προθήσων ἐπαίνους, ἀλλ' ὅπως τοῖς τῇ δε ἄρξαι καταζηλοῦσι τουτὶ ὑπογραμμὸς ἔσοιτο ἔμφρονος γνώμης καὶ βεβηκείας, σοί τε κατ' ὀφθαλμῶν διειδὲς ἔσοπτρον προσπαγῆναι συμβαίη, ἐφ' ᾧ ὑπὸ ἀνταναχλάσει ἑκάστοτε· ἃ διεπράξω, ἐνοπτριζόμενος, ὧν ἂν δράσων καὶ διαπραξόμενος εἴης, τῶν τύπων εὐμαρῶς ἀντιλάβοιο καὶ ἰνδαλμάτων, τῶν ἀγαστῶν σοι λογισμῶν καὶ διαπεπονημένων ἔργων ὁμιλητὴς ἅμα παρενδεικνύμενος, καὶ σαυτοῦ προοδηγὸς, οὐχ ἥκιστα μὲν καὶ τῶν ἄλλων εἰς μίμησιν προσαγωγεὺς ἐποτρύνων, καὶ τὰ καθήκοντα προμνηστευόμενος.

Ἱλαρᾷ τοίνυν ὄψει, καὶ μειδιάματι χάριτος διακεχυμένῃ, ὥς σοι ἀμέλει προσήκοντι, καὶ ἄλλοις τὸ παραπλήσιον λυσιτελοῦντι τουτωὶ τῷ φιλοπονήματι, κἂν ἀκάνθιος, τὸ δὴ λεγόμενον, ἐπελήλυθε τέττιξ, καὶ ἀμουσότερον λειβηθρίων, προσχαριζόμενος τὸν μετὰ χρόνου περιστροφὴν, καὶ πλείστων παρεληλυθότων πεῖραν δεινῶν ἐπαναχαμπτόμενον καὶ προσηνεχθέντα σοι φόρον, τῆς κατ' ἐνδιάθετον εὐμένειαν προσηνεστέρας μὴ ἀπαξιώσας ὑποδοχῆς, τῷ σῷ μεγέθει ἀπάλλαξον, περικαλύψας δήγματος ἰοβόλου γλώσσης ῥαδιουργίᾳ ἐντρυφωμένης, καὶ βωμολόχου τερθρείας σκωπτομένων τε καὶ ἐρεσχηλούντων, καὶ παρὰ δούπους πολυκρότους, καὶ τύρβην πολύηχον αὐλικοῦ κυκεῶνος μὴ διασπαραχθῆναι ἐάσας, ῥαστώνης καὶ εὖ μάλα ταῖς μούσαις φίλης ἀταραξίας τό ἠρεμαῖον καὶ ὑπερήδιστον προσδεδώρησο καταγώγιον.

Ἔῤῥωσο ὑπὲρ νεστόρειον γῆρας ὑγεμόνων κορωνὶς, κῦδος κρατούντων.

Μάλα γὰρ σ'ὁρόω καλόν τε μέγα τε,
Ἄλκιμος ἐσσ'ἵνα τὶς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.
(Ὁμήρου ὀδυσσ: ῥαψῳδ: α: 301).
Παντοίῃς ἀρετῇσι κεκασμένον ἐν Δαναοῖσιν.
Ἐσθλὸν τοῦ κλέος εὐρὺ καθ' Ἑλλάδα καὶ μέσον Ἄργος. (Ὀδυσσ: ῥαψῳδ: δ': 725).

Τῆς σῆς θεοφρουρήτου ὑψηλότητος
ἐλάχιστος οἰκέτης

Πέτρος Δεπάστας ὁ Πελοποννήσιος

Acestea da bucuros mi le-am propus pentru ómenil ce aŭ să fie, nu dóră că aşi voi a înfăţişa ţie, celuĭ ce nu te răpeştĭ de rĕvnirea acestora, propriele tale laude, pre care mintea ta cea înţeléptă şi deştéptă le respinge din devotament, ci pentru ca acésta pe deoparte să fie exemplu de minte înţeléptă şi statornică celor ce vor rêvni a domni aşa, ĭar pe de alta, să facă a se fixa dinaintea ochilor tĕĭ o oglindă lucĭósă, ca sub reflecţiunea eĭ privindu-te tot-déuna în cele ce aĭ lucrat, să poţĭ cu uşurinţă pricepe tipul şi forma celor ce aĭ maĭ avea de lucrat şi efectuat; arătându-te tot-de-odată învĕţăcel şi povĕţuitor ţie însuţĭ în minunatele tale cugetărĭ şi chipzuitele lucrărĭ, dar nu maĭ puţin iniţiator şi al altora îndemnându-ĭ la imitare şi amintindu-le datoriele.

Decĭ, cu privire veselă plină de zimbetul graţieĭ dăruind favorul tĕŭ acesteĭ opere, care pre cât este în adevĕr cuviincĭósă ţie, pre atâta folositóre şi altora, deşi a trecut prin ea, cum ḑice proverbul, griere din spinĭ, şi maĭ ignorant de cât Libetriĭ [*]), să nu considerĭ nedemn de o primire cât maĭ indulgentă dupre blândeţa ta înăscută, tributul cel după învêrtirea timpuluĭ, şi esperienţa prea multor adversităţĭ trecute, reîntors şi adus ţie, ci să-l protegĭ cu măreţia ta, acoperindu-l de muşcarea veninósă a limbeĭ înbuibate de rĕutăte, şi de bărfirea próstă a batjocoritorilor şi glumeţilor, şi nelăsându-'l a fi sfâşiat prin sgomotele mult-trăsnitóre şi de tumultul mult-vuitor al amesteculuĭ curtén, dărueşte-ĭ locaşul cel pacĭnic şi prea plăcut al repausuluĭ şi a linişteĭ ceĭ maĭ ales ĭubite de muse.

Să trăeştĭ maĭ mult de cât bătrîneţele luĭ Nestor, corónă a Principilor şi glorie a Domnitorilor.

„Te vĕd prea frumos şi mare
„Eştĭ puternic, în cât şi dintre posteriorĭ te va grăi cine-va de bine (Omer. Odis. A. 301).
„Infrumuseţat eştĭ între Danaĭ cu tot felĭul de virtuţĭ,
„Brav, a căruĭa glorie este întinsă (respândită) în Elada şi în mijlocul Argosuluĭ (Om. Od. D. 725).“

Al Inălţimeĭ tale ceĭ de D-ḑeŭ păzite
cel maĭ umil Servitor

*Petru Dapasta Peloponezianu.*

## ΠΡΟΟΙΜΙΟΝ.

Πάνυ μὲν οὖν ἄντικρυς τὸ ἀνθρώπειον ἢ φιλόσοφος δεδογμάτικε λόγος τῷ ὑφηγουμένῳ τοῦ ἐνδομυχοῦντος ἐν αὐτῷ λόγου ποδηγετούμενον οἴακος, καὶ ἣν οἴκοθεν παρείληφε φωτὸς μαρμαρυγαῖς ὑποστίλβουσαν τουτωὶ τὴν κυνόσουραν αὐτομάτως προθέμενον παραμείβεται διαπόντιον τὰ τοῦ βίου πελάγη, καὶ πανταχόσε τῆς ποντοπορίας ἀσφαλῶς διελαῦνον τῶν προκειμένων ἀφικνεῖταί πως καθηκόντων ὥστε ἅμα τῷ τὰς ἕλικας ἀποφυγεῖν τῶν ῥευμάτων, καὶ δίνας τούς τε ἀκροσφαλεῖς τῶν προστυχόντων κινδύνων τοῦ ὅρμου δῆθεν ἐπιλαβέσθαι τοῦ δέοντος, καὶ δυσπελάστου καὶ πρὸς ἀνάπαυλαν ἐκεῖσε καταίρειν μηδέπω τοῖς κύμασιν ἐγκαλινδούμενον. Καὶ μὴν τῶν σπερμάτων τῆς ἀρετῆς τῇ ἀνθρωπίνῃ φύσει αὐτοφυῶς ἐγκατασπαρέντων, θεῖός τις τῇ ἐν ἡμῖν ἐπιχωριαζούσῃ περὶ λόγον δυνάμει, καὶ πανακηράτῳ μορφῇ τῆς ψυχῆς ἐγκεχάρακται νόμος τῷ νῷ δὴ πάρεδρος συνιζάνων, ἔμφυτός τε καὶ ἐνδιάθετος προσαγορευόμενος λόγος. Οὗτος δήπου ἀειθαλλὴς τυγχάνει γε ὤν, ὁμοῦ καὶ ἀδιάφθορος, τῷ τε πυθμένι τῆς νοερᾶς δυνάμεως οἷα ἐν παραβύστῳ συνανακείμενος, καὶ αὐτόθι καταδεδυκώς, τὰ περὶ τὸ ζῆν, ὡς ἔνι μάλιστα, ὀρθῶς πρυτανεύεται, ὑποφήτου γε μήν, ἢ ἄλλου οἵου τε οὖν ἁρμοστοῦ μὴ δεόμενος, ἐν κύρβεσι δὲ ἢ ἄξωνι καὶ δέλτοις παντάπασι μὴ ἀναγραφόμενος. τοιγαροῦν ὑπερφυῶς πως τῇ ἀνθρωπείᾳ φύσει τοιόνδε ἀπημάχθαι χαρακτῆρα, φαίη οὖν ἄντις κατεσκεμμένως, καὶ μηδαμῶς ἀπαλειφόμενον ἀπρὶξ ἐγκεκολάφθαι, τὸ ἐντεῦθεν ἐκμαγεῖον γενόμενον τελαυγὲς τῆς κατὰ θεὸν φύσεως, καὶ ἀκραιφνέστατον ἀείποτε κρηπῖδα ἀναφανῆναι τῶν καθηκόντων οὐμὴν οὐδαμῶς ἐξοκέλλουσαν τῆς ἀληθείας, τόγε δίκαιον ὁμαλῶς καὶ σῶφρον, τὸ εὔρυθμον καὶ νηφάλιον, τὸ στεῤῥὸν καὶ ἄλκιμον, τότε συνετὸν καὶ πολυδερκές, καὶ καθάπαξ ἅπασαν τῆς ἀρετῆς τὴν φιλοκαλίαν ἐνδελεχῶς ὑποτιθεμένην. οὐμήν, ἀλλὰ δυσπραγίας, ὡς ἔοικε, τινὸς οἱονεὶ ἐπιγιγνομένης τῷ εὐτυχήματι, ζόφου τέ ἀποφθορᾶς τῷ φωτὶ ἐπισκοτίσαντος, ὑφ' ὧν τὸ συμφυὲς πλεονέκτημα κεκηβδήλευται· πάθη μὲν ποικίλα καὶ κακῶς ἐπιφύντα τῇ φύσει, καὶ ἐπεμβαίνοντα, καίγε τὰ πλείω φορᾷ κατασινάζοντα βιαίᾳ καὶ θορυβοῦντα, ἀμηγέπως κατεξανίστανται τῇ λογικῇ εὐβουλίᾳ γλίσχρως ἐπιφυόμενά τε καὶ ἐπισκήπτοντα. Ταύτης γοῦν τὸ ἀμήχανον κάλλος, πολλαχῶς ἀμαυρῶσαι διαπειρώμενα τὰ ἀπὸ λόγου ἐπισκιρτήματα τῶν παραπεφυκότων παθῶν πῇ μὲν ἔλαθεν ἐπ' ὀλέθρῳ καὶ ἥττῃ τοῦ ἀνθρωπείου ὑποικουροῦντα καὶ σκευωρίαις παντοδαπαῖς ἀποχρώμενα καὶ ἐνεδρεύοντα· πῇ δὲ τῆς ἐπιπεφυ-

## *Introducere.*

Omenirea condusă fórte nemerit de cârma îndreptătóre a rațiunel ce residă în ea, precum opinéză graiul filosofic, și avênd firește în vedere stéua polară, ce de la început i s'a dat spre a-ĭ luci cu radǫe de lumină, trece pe mare furtunele vieței și pretutindene înaintând cu siguranță în acéstă plutire pe mare, îșĭ plinește óre-cum datoriele ce-'ĭ prestaŭ; în cât tot de-o-dată, evitând vĕrtejele curentelor și volburile cele periculóse ale restriștelor întîmplătóre, ajunge în portul cel de folos, de și greŭ de apropiat, și se adăpostește acolo spre repausare, ne maĭ fiind învăluită de valurĭ. Apoĭ, întru cât semințele virtuțeĭ natural sunt semĕnate în firea omenéscă, o lege divină este întipărită în facultatea permanentă în noĭ a intelegențeĭ, și în forma cea prea nestricăcĭósă a sufletuluĭ, care lege asistând maĭ ales mintea ca un asesor, se maĭ numește rațiune înăscută și interióră. Acésta fiind pururea verde și neperitóre și ședênd în adâncul facultățeĭ înțelegătóre și tăĭnuită acolo ca într'un ascuns, dispune cât se póte maĭ drept cele ce privesc viața, neavând trebuință de vre un învĕțător, orĭ alt óre-care guvernator, și fără a fi de loc înscrisă pe colóne séŭ table și cărțĭ [4]). Prin urmare, un astfel de caracter (séŭ întipărire a legeĭ divine), într'un chip minunat este întipărit în firea omenéscă, ar ǫice un bărbat cu reflecțiune, și este strîns alipit spre a nu se maĭ șterge. Din care causă, devenind tip luminos a fireĭ luĭ D-ǫeŭ. s'a arĕtat pururea temelia cea maĭ statornică a datorielor, carea nicĭ cum nu se abate de la adevĕr, ci cu stăruință propune dreptatea precum și înțelepțirea, cumpatarea și tresvia, statornicia și vêrtoșia, prudența și agerimea vedereĭ, și într'un cuvênt, tóte virtuțile cele oneste și frumóse. Dar cu tóte acestea, fiind-că o nenorocire, cum se pare, a venit într'un chip óre-care preste acéstă fericire și întunericul pierǫereĭ a întunecat lumina, din care cause s'a alterat prerogativa cea firéscă; în urmare, pasiunĭ felĭurite și rele născêndu-se în natura omenéscă și apăsându-o, ba cele maĭ multe cu o pornire videntă stricându-o și turburându-o, aceste în tot chipul se revoltă contra bunuluĭ cuget al mințeĭ necontenit hărǫindu-l și atacându-l.

κυίας τῷ γένει ἡμῶν συνέσεως ταῖς προτροπαῖς καὶ παραινέσεσιν ἐσθ' ὅτε ἐντρυφώμενα, τύφῳ καὶ χλευασμῷ ἀναφανδὸν ἐπέθητο γεφυρίζοντα καὶ ἀναιδῶς κατορχούμενα. ἐπὶ τούτοις μὲν ἄρα (φεῦ τῆς ἀνοίας) ἐναργῶς τοὺς πλείστους ἔγνωμεν τῶν ἀνθρώπων τὸν λόγον ἐκποδὼν ποιησαμένους, καὶ παρασπόνδῳ φρονήματι τὰς ὑποθήκας αὐτοῦ ἀποκεκρουκότας, καὶ δι' ἧς ἀναχθέντες τῆς θείας ἂν τοῦ καθήκοντος καὶ ὑπερφυοῦς ἀκρωρείας ἐφίκοιντο, ὁ δοῦ ἀτεχνῶς παρατραπέντας, καὶ ὕας, τὸ τοῦ Κράτητος, ἐν βορβόρῳ ἰλισπωμένους, ἐς ἄλογον ἦθος καὶ κτηνῶδες ῥύμῃ διολισθαίνοντας. Ταύτης τοίνυν τῆς διαφθαρείσης ἕνεκα φύσεως, τοῦ θείου γε ἐπιεικῶς τἀνθρώπινα ἐπιθεραπεύοντος, ἀναγεγραμμένους ὁτωσοῦν ἄνθρωποι ἐν πυξίοις τῆς κατὰ βίον πολιτείας παρεθεσπίσαντο νόμους, οὐχ ἧττον τῷ ἐμφύτῳ μὴ ἀπᾴδοντας λόγῳ ἢ τῆς ἐγγενομένης ἡμῖν λογικῆς δωρεᾶς ὑποφητικοὺς καὶ ἐκφάντορας· ταύτῃ δήπουθεν ἀξιοῦντες τὰ ἀφηνιάζοντα τῶν παθῶν κεχαλινῶσθαι, τὸ κόσμιον διατετηρῆσθαι καὶ ἐναρμόνιον, λογικόν τε καὶ ἐμμελῆ ἀποδεδεῖχθαι τὸν ἀνθρώπινον βίον. Καὶ γὰρ συμπεφυκείας τοῖς νόμοις ἀρχῆς τε καὶ ἐξουσίας, καὶ ὡς ὑπὸ πτοίᾳ ταύτης καὶ ἀπειλῇ σθένος προσπαραλαβούσης τῆς νομοθησίας καὶ ῥῶσιν, ἤδηπως τῶν ἀνθρώπων ἀθρόως τὸ σφῶν αὐθαίρετον ὑποβεβλημένων τῷ κράτει ἐπ' εὐαρμοστίᾳ καὶ στεῤῥότητι πολιτεύματος, ἀπερηρεῖσθαι τὰς βασιλείας, ἐπεστηρίχθαι δυναστείας τῇ τῶν ἐθνῶν συγκεκραμένας ῥοπῇ, καὶ συμπαραχθῆναι ἡγεμονίας καὶ ἀρχὰς ἁπάσας, πρὸς τῇ τοῦ εὐπραγοῦντος βίου περιουσίᾳ ἐπὶ δεόντων καταρτισμῷ καὶ χαλιναγωγίᾳ εἰς ἀθέσμους πράξεις ἐναλλομένων ἀνθρώπων. Διό περ τῶν ἐν παντὶ χρόνῳ ἀπομνημονευομένων ἐθνῶν τούς γε σπαρτιάτας παρ' Ἕλλησι, Κρῆτας καὶ Ἀθηναίους ἐπὶ Λυκούργου, Μίνωός τε καὶ Σόλωνος, παράγε Ῥωμαίοις τε καὶ Λοκροῖς, Ῥωμύλον, Νουμάν τε καὶ Ζάλευκον, καὶ ἀλλοδαπεῖς μέντοι, ὅσοι κλεινῶς ἐν τῇ ὑφ' ἥλιον διατεθρύλληνται, στιβαραῖς οἴδαμεν διαπρέψαντας νομοθεσίαις, οὓς μὲν λιτότητι διαιτωμένους καὶ ἀφελείᾳ ἀνθ' ἕκαστον δικάζοντας δίκην, οὓς δὲ φρενήρει σοφίᾳ πολιτεύματος διανεμομένους πηδάλια, οὓς δὲ ἀλκῇ ἐῤῥωμενέστερον στρατηγοῦντας· ἄλλως γε διαφόροις ὀλιγαρχίας δημοκρατίας τε καὶ ἀριστοβουλίας συγκλήτου, ἐφ' ὅρων ἐπισκοπῆς, βασιλείας γε καὶ τυραννίδος ἀλλήλων ἀφεστῶσι προσχήμασιν, ἅπαντας τῷ τῶν προσηκόντων πληρώματι καὶ ἀπαρτισμῷ τοῦ δικαίου προσανεχομένους, καὶ ἀστεμφῶς ἐπικαρτεροῦντας. Καὶ γὰρ δὴ τοὺς τῶν ἄλλων κατακρατοῦντας, προσῆκον ἐν τῷ ἄρχειν ἄρχεσθαι ὑπὸ δίκης καὶ τοῦ ἀκεραίου ἐμφύτου λόγου ὀρθῶς γε ἐπὶ νόμοις προσυφηγου-

Decĭ sburdările neraţionale ale anormalilor pasiunĭ încercând a înnegri în multe chipurĭ nespusa frumseţe a acestuĭ cuget: uneorĭ pe ascuns încuĭbându-se în el, întrebuinţază şi uneltesc tot felĭul de măestriĭ pentru înfrângerea şi perderea omenireĭ; alte-orĭ făţiş atacă înţelepcĭunea cea dobândită de némul nostru, când ademenind-o prin îndemnări şi sfătuirĭ, când bătându-şĭ joc de ea cu semeţie şi dispreţ şi neruşinos desonorând-o.

Decĭ în urmarea acestóra lămurit am cunoscut că cea maĭ mare parte din ómenĭ dănd la o parte raţiunea (vaĭ ce nebunie), aŭ respins şi sfaturile eĭ cu socotinţă nedréptă, şi abătându-se de tot dela calea, pe care înaintând ar fi ajuns la culmea cea divină şi supremă a datorieĭ, se alunică cu răpegĭune în obiceĭurĭ neraţionale şi bestiale, ca nişte porcĭ întinaţĭ în noroĭ, cum dice Crates[4]). Decĭ, pe lângă că Divinitatea se îngrijeşte cu blândeţă de cele umane, pentru acéstă fire coruptă, uniĭ bărbaţĭ aŭ maĭ prescris despre conduita vieţeĭ óre-care legĭ înscrise pe table şi care nu se abat nicĭ cum de la raţiunea naturală, ci încă sunt explicătóre şi revelătóre daruluĭ intelectual ce se află în noĭ. În aşa mod adecă eĭ credéŭ potrivit a se înfrâna pasiunele cele desfrânate, a se conserva ordinea şi armonia socială, şi viaţa omenéscă a se manifesta raţională şi regulată. In adevĕr, fiindcă legile aŭ o înascută autoritate şi putere, pentru care, sub frica şi ameninţarea acesteia, şi legislaţiunea şĭ-a câştigat putere şi vigóre, întru cât acum şi óməniĭ îşĭ supusesă cu toţiĭ liberul lor arbitru putereĭ, în scopul buneĭ-rânduelĭ şi a consolidăreĭ societăţeĭ, aşa s'aŭ fundat împĕrăţiele s'aŭ întărit dinastiele fiind în acord şi cu consemţimêntul naţielor, tot-o-dată s'aŭ ivit şi tóte domniele şi autorităţile ce aŭ de scop, pe lângă comoditatea unuĭ traĭ fericit, înlesnirea celor necesare şi înfrânarea ómenilor ce se aluneca în fapte nelegĭuite. Pentru care, dintre popórele ce se amintesc în tot timpul, ştim că s'aŭ destins prin legislaţiunĭ solide între Elenĭ Spartaniĭ, Creteniĭ şi Atheneiĭ sub Licurg, Minos şi Solon, la Romanĭ şi Locrienĭ, Romul, Numa şi Zaleuc şi alţiĭ pe aĭurea încă, câţĭ cu faĭmă sunt vestiţĭ pe pământ: din care, pre unele naţiunĭ le-aŭ făcut a trăi în frugalitate,

μένου, καὶ τὴν ἀναχαιτίζουσαν ἔστιν οὗ, καὶ παράφορον τῆς ἀφηνιαζούσης φύσεως ῥοπὴν συντόνως καὶ ὡς εἰκὸς παρακαλπάζοντος. „Τίς οὖν τὸ πυκινὸν τοῦ σοφοῦ Χαιρωνέως ἡμῖν ὑφίσταται λόγιον, ἄρξει τοῦ ἄρχοντος; ὁ νόμος ὁ πάντων δασιλεὺς θνητῶν τε καὶ ἀθανάτων, ὥς φησι Πίνδαρος οὐκ ἐν βιδλίοις ἔξω γεγραμμένοις, οὐ δὲ τισι ξύλοις ἀλλ' ἔμφυτος ὢν ἑαυτῷ λόγος ἀεὶ συνοικῶν καὶ παραφυλάττων, καὶ μηδήποτε ἐῶν ἔρημον ἡγεμονίας“. (Πλουτ: λόγον πρὸς ἀπαίδευτον ἡγεμονα).

împărţind în simplitate dreptatea fie-cuĭ, ĭar altora le administraŭ cu adêncă înţelepciune cârmele statuluĭ, şi pre altele maĭ viguros cu putere le comandaŭ. Deşi de alt-fel prin diferite forme de oligarhie, de democraţie şi de senat constituit din optimaţĭ, se deosebiaŭ între sine sub nume de suprainspecţiune (episcopie) de regat maĭ ales, şi de guvern absolut, însă cu toţiĭ se aplicaŭ şi neclintit stăruiaŭ în complectarea datorielor şi deplinirea justiţieĭ. Şi, în adevĕr, ceĭ ce stĕpânesc pre alţiĭ, în timp ce domnesc, se cade a fi domniţĭ de justiţie şi raţiunea înascută cea sănĕtósă, care cu dreptul se prescrie în legĭ, şi continuu şi dupre cuviinţă strunesce aplecarea cea une-orĭ sburdatecă şi nebunatecă a neînfrânateĭ naturĭ. Cine óre susţine în faţa nóstră înţelépta maximă a înţeleptuluĭ din Cheronea: „va domni preste domnitor? Legea, care este împĕratul „tuturor celor muritorĭ şi nemuritorĭ, cum „dice Pindar [5]), nu în cărţĭ afară scrise, nicĭ „pe óre-care scândurĭ, ci raţiunea în sine „însufleţită, pururea conlocuitóre şi observa„tóre şi care nicĭ-o-dată nu lasă pre cineva lipsit de autoritate“ (Plutarh. orat. cătră un principe ignorant [6])

Ἔνθέν τοι μεν, ὅπερ δὴ συμδαίνειν εἴωθε περὶ τοὺς κρατοῦντας τῆς αὐτῆς τοῖς προθεσπίσασι νόμους ἐπὶ τηρήσει νόμων μετειληχότας φιλοτιμίας (οὐγὰρ ἀδοξότερον τοῦ κλέος τι πρότερόν γε ἱδρύσασθαι τὸ ἀσφαλῶς αὐτὸ τοῦτο διὰ παντὸς τετηρηκέναι) Κἀνταῦθα ἐπ' ἐμφανείᾳ ὀρθοῦ ἐναποκειμένου λόγου, προδηλώσει τε δικαιοπραγίας, καὶ παρετάσει νόμων καθηκούσης ἡγεμονίας, στάθμη τε τοῦ δέοντος ὁμαρτεῖ μέντοι καὶ τρυτάνῃ, ἐπὶ κακῶν παντοίων ἀπαλλαγῇ, ῥυθμοῦ εἰσαγωγῇ τε καὶ περιθάλψει, ἐν αἴσῃ δυνάστου πεφυκὼς πρόκειται διαμιλλησάμενος ἥρως οὗ καὶ τὰς κατὰ τὸν ἡμέτερον αἰῶνα γεγονυίας πράξεις ἐπ' αὐτοψίας ἐρανισάμενοι, καὶ λογάδην συνειλοχότες, μικρόν τε κυπτάζοντες περὶ τὴν γραφήν, τὸν βίον ὅσον σθένος διεληλύθαμεν· ὡς οὖν πέρας ἀληθείας μὴ ὑπεραμειψαμένης τῆς ἀφηγήσεως, καὶ ἀφ' ὧν τοῖς ἄθλοις καὶ κατορθώμασιν ὁ ἀνὰ χεῖρας χρόνος ἐτέλει τοῖς πλείοσιν ἀντικρὺ διαμαρτυρούμενος, τὴν ἐπ' ἔθη ἐν δυναστῶν μεγάροις πρὸ πυλῶνος ἐφιζάνουσαν κολακείαν ἀποδιοπομπουμένου τοῦ λόγου ἐπὶ τὴν πραγματείαν, ὥς περ τὸν πῶλον περὶ τὴν νύσσαν θήγουσιν ἤδη ἡμῖν, ᾧ δε πως ἐκπροόδου δέδεικται κατιέναι.

Din acéstă causă ceea ce obicinuit se întêmplă, că adecă domnitoriĭ se cuprind pentru pădirea legelor tot de aceeaşĭ ambiţiune de onóre ca şi ceĭ ce din început aŭ dictat legele (căcĭ tocmaĭ a conserva ceva nesmintit tot-déuna, nu este maĭ nemeritos de cât a crea dintru'ntêĭ ce-va glorios), şi în acéstă înprejurare are loc: vréŭ a dice că ne prestă un Eroŭ născut cu sórta de domnitor, ce şĭ-a dat silinţe pentru manifestarea drepteĭ raţiunĭ aflătóre în el, pentru arĕtarea acţiuneĭ sale ceĭ drepte, pentru mănţinerea legelor uneĭ domniĭ acomodate cu mĕsura ba chiar şi cu cumpăna trebuinţeĭ, pentru eliberarea de tot felĭul de rele şi întroducerea ordineĭ şi a consolaţiuneĭ. Adunând decĭ prin propria privire faptele acestuia sĕvêrşite în vécul nostru, întrunindu-le în grupe, şi ocupându-ne puţin cu scrierea lor, am pertractat dupre putinţă viaţa luĭ. Prin urmare, întru cât naraţiunea nu întrece dincolo de adevĕr şi din cele ce timpul present continuŭ atestă în faţa celor maĭ mulţĭ despre luptele şi isbândele aceluĭa, precum cursierul alérgă la ţintă, aşa şi noĭ, animaţĭ acum pentru acest scop, am credut cuviin-

ΒΟΕΒΟΔΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ.

Ἔτει Χριστοῦ ᾳψια. Γένος μὲν οὖν οὗτος ἔσχεν ἐν Βίζαντος ἀποτεχθεὶς τὸ ἐν τῇ βασιλίδι πόλει ἐν τοῖς μάλιστα λαμπρὸν καὶ ἐπιφανὲς, ἐκπατρὸς μὲν Νικολάου τοῦ τηνικαῦτα ἑκατέραν Δακίαν ἐκτάδην ἐπὶ συνέσει πρυτανευσαμένου, καὶ εὐβουλίᾳ τῇ περὶ τοὺς λόγους ἀσκήσει, καὶ ἐμβριθεῖ φιλομαθίᾳ εὐκλεῶς διαβεβλημένου, ἄλλως γε καὶ τὸν περὶ τὴν Ἑλλάδα ὁρίζοντα καθ' ἡμᾶς διαυγάσαντος. Μητρὸς δὲ Πουλχερίας ἰδίᾳ τὸ τῆς σεμνότητος κάλλος, καὶ τῆς εὐσεβείας τὸν πέπλον ὑπερφυῶς ἀναβαλλομένης· ἦν δὲ αὐτῷ πρὸς πατρὸς πάππος ὁ ἐπὶ τῶν ἀποῤῥήτων τοῦ ὀθωμανικοῦ κράτους ἀρίγνωτός τε καὶ περιώνυμος Ἀλέξανδρος, ὅν γε τῷ μὲν ἐπὶ σοφίᾳ τῶν τηνικαῦτα Ἑλλήνων αὐτὸν περιόντα καθεστηκέναι καὶ ἅπαντας ὑπερπαίοντα, ἅτε καὶ οἷα περ ἐλλυχνίων ὄδωδε καὶ ληκύθου, συγγράμματα, ὡς δὴ πρὸς τὸν τοῦ Ἐπικτήτου λίχνον στιβαρῶς ἐπεξειργασμένα, ἰουδαϊκῶν τε ῥωμαϊκῶν καὶ φροντισμάτων πολιτικῶν, περί γε ὀργάνων ἀναπνοῆς διαπονησάμενον, τῷ δὲ καὶ τῇ τῆς πολιτικῆς συνέσεως ἐμβριθείᾳ ἐγγυμνασάμενον τὸ φρόνημα καὶ ὑπερείσαντα ἀνακτορείων ἀδύτων κοινωνίας μετειληφέναι, ἅτε δὴ ἐπὶ τῶν ἀποῤῥήτων καὶ ἐν πρεσβείαις προὔχοντα τῆς περὶ τὴν ἀρχὴν διοικήσεως, εἰκότως ἂν φαίημεν δόξαν παρασχεῖν ἐπὶ τῆς οἰκτρῶς καταβεβλημένης Ἑλλάδος καὶ ὑποπεπτωκυίας κύδιστον ἐκδωρεᾶς διαφανῆναι καὶ περικλεᾶ. Καὶ μὴν ὑπὲρ τοῦ μὴ ἐρήμην ἀπολελεῖφθαι ἐκείνην, τὰ μικροῦ δεῖν ἀπεσβυκότα αὐτῆς ὑπεκκαύματα ἀναῤῥιπισάμενον εἰς πυρσὸν ἐφάψαι περιαυγάζοντα, ὡς τοῦτο δήπουθεν τὴν πρόνοιαν ἔστιν οὗ ἀπεργαζομένην, καὶ ῥοῇ παρατείναντος χρόνου ἄλλοτε ἄλλως τὸ σύμπαν διανέμουσαν, καὶ ἀκαταλήπτῳ ῥυθμῷ συμπλακέντων ἐν βίῳ πραγμάτων εἰς ταυτὰ θαυμασίως ἐνιαχοῦ μεταπίπτουσαν, καὶ διὰ τῶν αὐτῶν πανσόφως διαπεραίνουσαν.

Τοιᾶς δε γοῦν οὔσης τῶν γειναμένων τῆς ἀρετῆς καὶ προγόνων, οἷα ἐστιν ὅτε φιλούσης παρογετεύεσθαι εἰς τὰ ἔγγονα καὶ διαπεραιοῦσθαι, πρὸς τοῦ δε τοῦ πρέμνου τηλικοῦτος ἀκρέμων ἀναβεβλάστηκεν, ὃν καὶ πρὸς τὸ αὔξεσθαι διαυγέσιν ὕδασι σώφρονος ἀναγωγῆς ἀρδευθέντα, καὶ ἠρέμα

cios a ne opri din trécăt la acéstă pertractare respingênd din cuvênt linguşirea, care de obiceĭ şéde dinaintea porţeĭ palatelor Domnitorilor.

## Constantin Voevod.

*(Anul de la Christos 1711).*

Acesta născut în Bizant, avu un ném dintre cele maĭ strălucite şi maĭ însemnate în cetatea împĕrătéscă; tatăl sĕŭ Necolaĭ atuncĭ domnise preste fie-care provincie a Dacieĭ în tótă lungimea pentru înţelepciunea şi prudenţa sa era renumit şi pentru ocupaţiunele literare şi seriósă ĭubire de studiĭ, de altminterea strălucise în timpul nostru şi în orizontul Grecieĭ. Iar mama sa Pulheria era minunat împodobită maĭ ales cu frumseţa onestităţeĭ şi cu vestmêntul pietăţeĭ. Moş de pe tată avea pre prea cunoscutul şi renumitul Alexandru, consilierul de taină al statuluĭ Otoman. Acesta, pe de oparte, ajunsese a fi în înţelepciune superior grecilor de atuncĭ şi pre toţĭ ĭĭ întrecea, fiind-că compusese opere Iudaice şi Romanice, Meditaţiunĭ politice şi despre organele respiraţiuneĭ, scrierĭ ce mirosia a feştilă şi orcĭor de oleŭ, ca şi cum ar fi fost cu anevoe lucrate la lampa luĭ Epictet [1]); Iar pe de altă parte, avêndu-şĭ mintea exercitată şi susţinută de gravitatea prudenţeĭ politice, luară parte la relaţiele secretelor curţilor, şi fiind-că escelă în comunicaţiunele secrete şi în ambasadele guvernuluĭ statuluĭ, cu dreptul am putea ḑice că el a adus glorie Grecieĭ ceĭ miser înjosite şi căḑute, arătându-se cu prisosinţă glorios şi prea ilustru. Şi încă pentru ca Grecia să nu rămână pustie, aţiţind scânteele eĭ, ce puţin lipsiă a se stinge, a făcut a se aprinde o flacără pretutindenea luminătóre; cum adecă Provedenţa câte-o-dată face acésta, şi nu guvernéză universul altă-dată alt-felĭŭ în cursul îndelunguluĭ timp, şi prin o lege ritmică neînţelésă a lucrurilor ce se complică în viaţă, minunat le reîntórce une-orĭ tot la aceléşĭ, şi le sfîrşeşte prea înţelept tot prin aceléşĭ. [2])

Decĭ, natura escelentă a născĕtorilor şi străbunilor fiind de felĭul aceleea, ce uneorĭ obicĭnueşte a se transmite şi pătrunde în descendenţĭ, din acéstă tulpină a rĕsărit o aşa de mare ramură, care pentru a creşte fiind rourată şi lin udată cu apele limpeḑĭ

τεγγόμενον, ἅμα τῷ τῆς ἥβης ὀλισθηρῷ προσπελάσαι, εἰς σκάμματα παιδείας, καὶ πένταθλον ἀρετῆς προσηνεχθέντα ὡς παγκρατείαν ἐσόμενον, καὶ τὸ τῆς ἡλικίας ἀναπεταννύμενον δολιχεύσαντα στάδιον, ὁ φύσας παρ' ἐγκυκλίῳ παιδείᾳ προσαγαγὼν ταῖς ἀμφὶ τοὺς λόγους μελέταις ἤσκει μέν, καὶ καμμάτῳ παρέτριβεν, ἀτρέμα δὲ πολιτικοῖς προσγυμνασάμενος ἐπιτηδεύμασιν, ἐπὶ διαδοχῇ δυνάμεώς τε καὶ ἀξιώματος, προπαιδείας τινὰ παρενέπλεκε, πάλην τὴν ἐναγώνιον τοῦ ἄρχειν τὸν νεανίαν μυούμενος, ὅπως ἐμπράκτου βίου ὑπὸ γενναίῳ λήματι ἐπιλαβόμενος, μετὰ χρόνου παροίχησιν ἀρηρότως προκύψας, ἐπικρατείας, καὶ λαῶν διαιτητὴς ἐπιγένοιτο, ὁ πάλαι ταῖς μούσαις, καὶ ταῖς περὶ αὐτὰς ἐγγυμνάσμασι, καὶ πολιτικῶν φροντισμάτων ἡβητηρίῳ κατακόρως προεντεθραμμένος, καὶ ἔτη ἐν τουτωὶ προσαναλώσας τῆς βιωτῆς.

Ὡς οὖν τῷ τῆς ἡβώσης ἡλικίας γενναίῳ φρονήματι ἡ κατάλληλος παιδεία προσεπιφοιτήσασα, καὶ τὸ εἰς τὰ κάλλιστα αὐτοῦ ἐκπρεπὲς τοσαύταις διατριβαῖς ἐπεξεργασαμένη, τὸν ἄνδρα διετυπώσατο, ῥέων ὁ χρόνος ἀμοιβαδὸν, ὀξὺν αὐτὸν τὴν διάνοιαν, καὶ ἀκμαῖον, τὰς ἐπινοίας ἄχρι λεπτοῦ καταδιελόμενον ἀνεδείξατο, τὴν δίαιταν νηφάλιον, τῇ προσρήσει εὐέντευκτον καὶ εὐπρόσοδον, ἐμβριθῆ τὸ πολίτευμα, ἐπὶ τῶν δεομένων προσηνῆ καὶ εὐδιάλλακτον, τῷ τῆς θέμιδος ζήλῳ σπαργῶντα, καὶ περὶ τό θεῖον ζέοντα τῇ εὐσεβείᾳ· τοῦ μὲν γὰρ καλοῦ γλιχομένην οἴκοθεν φύσιν ἐκπαιδαγωγήσασα ἐλευθέριος τέχνη, καὶ τὰ ἐκείνῃ ἐμπεφυκότα τῆς φιλοκαλίας σπέρματα, ὡς εἰκὸς καταρδεύσασα, καρπῷ βρύθοντα ἀρετῆς, πέφυκε στάχυν ἀποτεκεῖν, καὶ τὰ πλεῖστα ἐπὶ τοῖς μέλλουσιν ἄρχειν, ὑφ' ὧν ἑκασταχόθι τρόπος διακεκόσμηται τῶν κρατούντων, ἀρετῶν ἀλλήλαις, συμβαλλουσῶν ξυνωρίδας συνίστησι πρὸς ἔμφασιν κάλλους ψυχῆς καί ἀρχομένων εὐδαιμονίαν. Ταύτῃ τοίνυν τῷ κάλλει τῆς ὑπερφυοῦς ἀρετῆς, ἧς τὰ μὲν σπέρματα τῇ φύσει ἐγκαταβέβληται, τὴν δὲ ἄσκησιν ἡ ἐν παιδείᾳ πεπυκνωμένη ἀναγωγὴ προσεπέθετο, διαῤῥήδην ἀκμάζοντος τοῦ νεανίου, τὸ προανίσχον ἐκεῖνο σέλας ὑποτοπάζων καὶ οἰωνισάμενος ὁ ἀοίδιμος ἔτι βιωτεύων πατὴρ, καὶ οἷα ἐκ τοῦ κρασπέδου προαισθόμενος τοῦ ὑφάσματος, τῷ κατὰ τὴν πολιτείαν δώγματι ὁσημέραι ἀπαρτίζων ἐξήσκει, καὶ τῆς τῶν Μολδάβων αὐτὸν ἡγεμόνα ἀποκαθηστάναι διαβουλεύετο· παραινέσεις τοὔνεκα αὐτῷ καὶ συνέσεως τὰ εἰς θεὸν καὶ πολίτευμα ὑποθήκας ἰδίαις ἐγκεχαραγμένας

ale uneĭ educaţiunĭ înţelepte, îndată ce s'a apropiat de punctul alunecos al vrêsteĭ, adus fiind Constantin în arena învĕţătureĭ şi la lupta incincită [9]) a virtuţeĭ, ca cum avea a fi în tóte învingĕtor, şi îndelung acum călătorind în studiul întins a etăţeĭ, tatăl sĕŭ întroducêndu-'l în învĕţătura enciclopedică, îl aplică la studierea ştiinţelor şi-'l deprindea cu ostenéla; apoĭ încet îl exercita şi cu ocupaţiunile politice şi pentru aĭ fi succesor la putere şi demnitate, îĭ întrepunea câte o dată o învĕţătură preliminară, iniţiând pre tênĕr în lupta cea agitată a domnieĭ, pentru că, începênd viaţa practică sub o voinţă generósă, şi cu trecerea timpuluĭ mereŭ aplicându-se, să devină diriguitor statuluĭ şi popórelor, acel ce când-va până la saţiŭ fu educat în ştiinţĭ şi în ocupaţiunele cu dênsele, şi crescut în scóla meditaţiunelor politice, consumându-şĭ aniĭ vieţeĭ în acésta.

Deci, de óre-ce în inteleginţa generósă a etăţeĭ ceĭ tinere a pătruns o învĕţătură cuviinciósă, şi prin atâtea studiĭ îndeplinindu-ĭ înclinarea luĭ spre cele maĭ frumóse calităţĭ, se formă acest bărbat aşa că cu timpul următor s'a manifestat pe rând a fi: ager şi matur la minte, distinguind până în fir cugetele, cu viaţa cumpătată, dulce la vorbă şi accesibel serios în conduită, milos către ceĭ lipsiţĭ şi îmbunător, răpit de zelul dreptăţeĭ şi aprins de pietatea în cele divine. Căcĭ ştiinţa liberală educêndu-ĭ natura ce de la sine poftia frumosul şi rourând dupre cuviinţă seminţele ĭubireĭ de bine aflătóre în ea, o făcu să producă un spic plin de fructul virtuţeĭ; şi să nască o părechiă de virtuţĭ, de care pretutindenea s'a înfrumseţat conduita stĕpânitorilor, şi care contribue maĭ cu samă asupra celor ce voesc a domni spre arătarea frumseţeĭ sufletuluĭ lor şi spre fericirea supuşilor. Decĭ, făţis escelând tênĕrul cu acésta frumseţa de virtute estra-ordinară, a căreea seminţĭ le avea depuse în natura sa, ĭar cultivarea lor şi-o câştigasă prin neîntrerupta aplicare la învĕţătură, şi tatăl sĕŭ, de fericită amintire, încă în viaţă observând şi prepuind acea lumină rĕsăritóre, şi de maĭ nainte cunoscênd materia de pe bată, ḑilnic îl exercita perfecţionându-l prin arătarea celor privitóre la stat, şi se gândĭa a-'l face domn în ţéra Moldavilor. Pentru care propunêndu-ĭ sfătuirĭ şi învĕţă-

χερσὶν ὑποτιθέμενος· οὐκ ἔδοξε μέν τοι τῷ νουνεχεστάτῳ ἥρωϊ ἅμα τε καὶ γεννήτορι, ἀεὶ γὰρ δεύτεραί πως, ὥς γε εἰπεῖν, φροντίδες σοφώτεραι· τὸ τηλικοῦτον εἰς πέρας ἀγαγεῖν διαβούλημα, ἅτε δὴ τὸ τῶν ἀνθρώπων ἐπίφθονον αἰδεσθέντι, καὶ τὸν τῆς διοικήσεως ὄγκον ἄγαν ἐπὶ νεότητι παιδὸς δεδιότι καὶ ἀπειπόντι.

ͅαψλ. Οὐχ ἥκιστα μέν τοι τουτὶ τὸ τῆς περὶ τὴν δυναστείαν αἱρέσεως ἔργον, οὐκ ἐς μακρὰν ἀπειργμένον τὸ χρεὼν ὑπερέθετο, ἄλλὰ τοῦ κλεινοῦ πατρὸς ἀπαλλαξαμένου, ἅμα ἔπος, τὸ δὴ θρυλλούμενον, ἅμα ἔρογον, ὅ τε τοῦ Ἱεροῦ συστήματος σύλλογος τῶν τε μεγιστάνων ὁ θίασος, ἐράνῳ συναρχαιρεσιάσαντες, καὶ ξυμβολῇ διασκέψεως, ᾗ οὖν δυνάμεως εἶχον καὶ τάχους ὑπὸ συμπνοίᾳ τινὶ ἡγεμόνα Δακίας τῶν ἄλλων προελόμενοι τουτονὶ παμψηφεὶ ἐξελέξαντο, καὶ ὥς περ πρὸς ἄνακτος δυνάστην τηνικάδε αὐτὸν αἰτησόμενοι, ὅπως τε τὴν γεγονυίαν σφῶν αὐτῶν ἐκλογὴν ἀνακτορείῳ κελεύσματι ἐμπεδώσειαν ἱκετηρίας καὶ παραγγέλματα εἰς βασιλεύουσαν προενηνοχότες, τῷ τοῦ ἀνδρὸς παραστήματι ἐπὶμαρτυρούμενα, καὶ οὐκ ἔλαττον ταῖς μὴ ἀπᾳδούσαις τῶν ἀπὸ τῶν ἐπὶπελαζόντων διοικημάτων προσμαρτυριῶν ἐπικυρώσεσιν ἐνισχύμενά τε καὶ ἐρυμνούμενα· καὶ γὰρ ἐν τοσῷδε ὁ περὶ τὴν ἀκρόπολιν Βιδύνης ἐν τέλει φρουράρχου διατελῶν ἄχρις οὗ πρὸς τῆς ἀνάσσης τῶν πόλεων ἀφικνοῖτο τὸ ψήφισμα πρὸς τῷ τῷ λήματι τοῦ κατὰ χώραν προαιρεθέντος ἐπιμαρτυρήσασθαι, καὶ τὰς ἡνίας αὐτῷ οὐδὲν ἠμφισβήτει ἐπιτρέψαι διοικήσεως· αὐτίκα μὲν οὖν τῶν προσχωρίων καὶ τῆς βουλῆς προϊσταμένων Συγκλητικῶν εἰς του τονὶ τὸν ἀγῶνα ὁρμησάντων, ὡς τῷ ἡγεμονικῷ αὐτὸν θώκῳ εγκαθιδρύσωνται, καὶ ἐπὶ τοῦ ἀρχικοῦ διαστέψωνται οἴακος ἡγεμόνα, οὑτοσὶ τοῦ βασιλικοῦ νεύματος προσαναρτώμενος τὴν ἐγκαθίδρυσιν οὐ προσήκατο. Καὶ δὴ τότε οὐκ ἔλαθεν ἀναδυόμενος τὸ τοῦ κράτους ἀμφίασμα, καὶ τῇ παραδοχίᾳ στέργων καὶ προσκαρτερῶν τῆς ἀνακτορικῆς παρεγκελεύσεως. Καὶ μὴν αὐτή γε ἅμα μὲν τῷ τὰς ἐγγραφὰς τῇ μεγίστῃ πύλῃ προσενεχθῆναι τῆς ἐξουσίας, οὐχ ἧττον δὲ καὶ τῆς πρὸς τὸν τεθνεῶτα γεννήτορα ἐπὶ τοῦτο γε συναρηγούσης εὐνοίας τοῦ ἄνακτος, καὶ μεγιστάνων συναντιλήψεως περὶ τρίτην ἡμέραν μετὰ τὴν εἰς βασιλεύουσαν ἄφιξιν λαμπρῶς ἐξεδέδοτο, ὥστε τῷ κατὰ τὴν ἀρχὴν δίφρῳ αὐτὸν μετ' οὐ πολὺ ἐπικαθεσθῆναι, καὶ τῶν πηδαλίων παραχρῆμα ἀντιλαβόμενον τοῦ διοικήματος τοῖς ἔργοις ἐπαποδύεσθαι· ἔδαφος μὲν γὰρ τῇ ἣν ἄρτι περιβέβλητος ἀρχῇ συμπεπηγὸς καὶ ἑδραῖον πάλαι που προκαταλαβόμενος διεστορέσατο τὴν προαίρεσιν, γνώμονα ἔχουσαν κρίσιν, καὶ λόγον, ἀλλὰ

turî cu însăşî mâna sa scrise pentru înţelepţirea în cele divine şi ale statuluî, totuşî inţeleptul Eroŭ şi părinte n'a credut cuviincîos (că pururea cugetările de al doilea ca să dic aşa, sunt maî înţelepte), a aduce la capăt un plan aşa de mare; căcî sfiindu-se de invidia ómenilor, s'a temut şi a renunţat la sarcina cea prea mare a administraţiuneî unuî stat, în comparaţiune cu tinereţa fiiuluî sĕŭ. (An. de la Chr. 1730). Dar ceea ce trebuia a se face, acest lucru adecă a dobândireî putereî nicî cum nu s'a amânat în delung, ci după mórtea vestituluî sĕŭ tată, odată cu cuvêntul, cum dice proverbul, avu loc şi fapta; căcî colegiul tagmeî sânţite şi adunarea boerilor alegênd colectiv şi prin comuna deliberare, cât s'a putut maî iute, prin conînţelegere preferind între alţiî, aŭ ales în unanimitate pre acesta domn Valahieî (Dacieî), şi atât pentru a-l cere atuncî de la împĕratul Otoman pre dênsul domnitor, cât şi ca alegerea făcută de dênşiî să se întărêscă prin ordin împĕrătesc, trimiseră maî nainte în capitală rugăciunî şi înştiinţărî atestătóre despre demnitatea bărbatuluî, şi care numaî puţin se întăriaŭ şi sprijiniaŭ de confirmările conglăsuitóre ale mărturielor din partea paşalicurilor vecine [10]). Căcî atuncî Paşa de pază a cetăţeî Vidinuluî, până să vină din capitală decisiunea, pe lângă mărturia luî dată conform dorinţeî celuî ales de ţară, nu se opunîa aî ceda şi frînele administraţieî. Decî fiind-că veciniî şi fruntaşiî senatorî aî divanuluî se porniră numaî de cât spre acéstă trébă ca să-l înstaleze în tronul domnesc şi să-'l încoroneze domn la cârma statuluî, acesta n'a primit înstalarea atârnând-o de voinţa împĕrătéscă. Da, atuncî făţiş evită investitura putereî, şi mulţămindu-se cu speranţa aştepta ordinul împĕrătesc [11]). Apoî, odată-ce scrisorile autorităţilor fură date la Pórta cea prea mare, nu maî puţin contribuind la acésta şi favórea Impĕratuluî cătră părintele sĕŭ mort, şi ajutorinţa boerilor, a treîa di după sosirea lor în capitală, solemnelŭ s'a edat şi ordinul aşteptat, în cât nu după mult timp se aşedă în scaunul domnieî şi îndată apucênd cârmele guvernuluî, se puse pe lucru. Căcî, de maî nainte când-va ocupând un teren statornic şi în strînsă relaţie cu autoritatea, cu care acum se învestiză, îşî desveliză voinţa avênd de

μὴ πτοίαν ὑπὸ κενῆς δόξης καὶ μηδαμῇ θράσος τὸ παράπαν ἀβελτηρίας· θυμηδίας ἄρα ἔμπλεω γενομένης τῆς χώρας, καὶ τὸ ἐπίπαν διαγελώσης τῷ εὐτυχήματι, ἁπαξάπαν τὸ ὑπήκοον γαυρούμενοι ἔχαιρον, οἷα κατὰ ῥοῦν φέρεσθαι δόξαντες, καὶ τὴν ὑπὲρ τῆς ἀποβιώσεως τοῦ προαρξαμένου πατρὸς ἐπεισαχθεῖσαν αὐτοῖς ἀνίαν τε καὶ πένθος τῇ τοῦ ἀρχομένου τό γε νῦν ἔχον υἱοῦ παρουσίᾳ διακηλούμενοι ἐνηβρύνοντο.

Περὶ τοῦτο δὲ καιροῦ ἐμπεσούσης ἡ τότε εἴωθε κυμαινομένη τῇ βασιλείᾳ ἀποστασίας δεινῆς, καὶ ὑπὸ στρατιωτῶν φύρδην συστρεφομένων καὶ ἐπαχθέστερον στασιαζόντων ἄρδην συντεταραγμένης τῆς πολιτείας τὰ πάντα θορύβῳ συγκέχυται, καὶ τῶν τῆς ἀρχῆς θεμελίων καὶ ἐρυμάτων ἀναπαλλομένων, ὁ μὲν ἄρτι ἀνάσσων τοῦ κράτους ἀποσεσόβηται, εἰς δὲ τὴν ἀκρώρειαν τῆς δυνάμεως ὁ ἀδελφιδοῦς αὐτοῦ ἀναβιβασθεὶς βασιλεὺς ἀνηγόρευται. Κἂν ταῦθα γοῦν πρὸς τοῦ ἀρτιπαγέντος ἄνακτος θέμιδος προτρεπτικαὶ τῷ ἀναῤῥηθέντι ἡγεμόνι ἔγγραφαι ἀπεστάλησαν, αἷς δήπουθεν ὁ μονάρχης πρὸς δίκης εὐθύτητα καὶ τήρησιν αἴσσης ἐπαλείφειν εἴωθε τοὺς κρατοῦντας ἁπανταχῇ· οὐ μὴν ἀλλὰ ἐπεὶ τῆς παγίας ὁδοῦ ἀποπλανηθέντες οἱ ἐξωλέστατοι ἀντάρται (οὐ γὰρ ἔγνω τὸν καθήκοντα λόγον μεμηνυῖα ἡ στάσις, τοῦ νοὸς τῶν κατὰ ἀγέλας στασιασάντων ὑπὸ τῆς ἅπαξ ἐνθουσιώσης ἐκδρομῆς τῷ πάθει ἀμηχέπως ἀμαυρωθέντος) ἀντιστραμμένως τὰ ἀμείνω τῆς διοικήσεως ἀπελοβῶντο παρατρέποντες, καὶ εἰς χείρω παραγαγόντες, προβατέμπορον μήν τινα καὶ ἐπὶ τῆς στρατιωτικῆς κρεωδαισίας, ἀγελαῖον δὲ καὶ δυσγενῆ ἐν Μολδαβίᾳ ἡγεμόνα ἑαυτοῖς παρακελευσάμενοι, τὸν τῆς Βλαχίας νέον δυνάστην, ἀντ' αὐτοῦ Μιχαὴλ Ῥακοβίτζαν ἀνακεκληκότες, ῥᾷστα τῆς ἀρχῆς ἀπεσύσαντο· τοῦ γοῦν προστάγματος ἐπενεχθέντος ὁ τῷ τῆς ἐπαναστάσεως σθένει ἀντεισαχθείς, τὴν ἀπέχθειαν αὐτοβοεὶ ἐνδεικνύμενος, καὶ πρὸς τῷ τὴν κατ' αὐτὸν περιουσίαν καὶ τοῦ πατρὸς καταγράψασθαι, ἄρχοντας τουτοὶ καὶ οἰκείους θεράποντας εἱρκτῇ καθυποβαλλόμενος αὐτὸν κἂν ὑπὸ δυοῖν βασιλέοιν ἀνακηρυχθέντα, καὶ ἐστεμμένον τῆς ἡγεμονικῆς ἐπωνυμίας οὐκ αντάξιον ἀπεφήνατο, τῇ ἀναῤῥήσει προσλοιδορούμενος, ὡς καὶ οἷς ταῖς πολιτικαῖς αὐτοῦ προσρήσεσιν ἀνταποκρινάμενος ἐπέστελλεν, ἐναργῶς προσεδείκνυντο· τοιγαροῦν οὑτοσὶ τῆς ἐπικρατείας ὧδε νῦν ἐξωθούμενος, πρύμναν ἀνακρούεται, εἰς Βυζάντιον ἀπαλλαγείς, σχέδην καθ' ὁδὸν διελαύνων εἰς ἂν ὁ τῆς στάσεως κλύδων, καὶ ὁ χειμὼν τοῦ πολιτικοῦ θορύβου βαθμηδὸν κοπάσας ἐλώφησεν. ἐνταῦθα τοίνυν μεγιστάνων φιλοφροσύναι, ἑταίρων καὶ συγγενῶν

normă judecata și rațiunea, iar nu răpire de glorie deșértă și nici de cum sumeția nerozieĭ. In urmare țara împlêndu-se de veselie și în genere zimbind de norocire, toțĭ supușiĭ se mândriaŭ de bucurie, credênd că le va merge dupre dorința și supărarea și doliul ce-'ĭ cuprinsesă pentru mórtea tatăluĭ sĕŭ, ce maĭ 'nainte domnisă, stĕmpărându-l se veselia de presența fiiuluĭ, carele pentru presență începuse a domni.

În acest timp întâmplându-se o insurecțiune cumplită în împĕrăție, care atuncĭ maĭ în genere se învĕluia, și statul cu totul sguduindu-se de soldațiĭ, ce se stringiaŭ la un loc și maĭ înfricoșat se rĕsvretiaŭ, totul era confusat de turburare, în cât clătinându-se temeliele și columnele potereĭ, împĕratul de până acum al statuluĭ s'a alungat, iar la culmea potereĭ râdicat fiind nepotul sĕŭ s'a proclamat împĕrat [17]). In acéstă împregĭurare din partea noŭ întăritulu̇ĭ împĕrat s'a trimis domnuluĭ recunoscut scrisorĭ îndemnătóre la justiție prin care adică monarhul de obiceŭ invita pre toțĭ guvernatoriĭ la dreptatea judecățeĭ și la observarea dreptuluĭ fie-cuĭ. Dar cu tóte acestea, fiind-că înrĕutățițiĭ insurgențĭ rătăcise de la calea dréptă (căcĭ insurecția furiósă nu cunóște mĕsura cuvenită: pentru că mintea trupelor rĕsvretite se întunecă întru cât-va de insubordinarea ce odată din patimă a ajuns la entusiasm), înturnând lucrurile pe dos, îșĭ bătea joc de dispositiile cele maĭ bune ale cârmuireĭ și întorcêndu-le spre maĭ rĕŭ, și-aŭ rânduit pentru dênșiĭ de domn în Moldova pre un negutitor de oĭ, însărcinat cu împărțire de carne la soldațĭ, om de rând și de ném prost, iar pre noul domnitor al Valahieĭ prea ușor l'aŭ respins din domnie, rechĭemând în locu-ĭ pre Mihael Racoviță [18]). După edarea ordinuluĭ, cel întrodus prin puterea revoluțieĭ, de la început îșĭ arătă dușmănia sa, și pe lângă catagrafierea avereĭ luĭ Constantin și a tatăluĭ sĕŭ, aruncă pre boeriĭ acestuia și pre servitoriĭ luĭ la închisóre, iar pre dênsul deșĭ proclamat și încoronat de doĭ împĕrațĭ, nu-'l socotia demn de supranumele de domn, batjocorindu-ĭ rădicarea la domnie, precum evident s'a demonstrat chiar din Epistolele de corespondență la felicitările luĭ politice. Decĭ Constantin respins acum așa din domnie, îșĭ caută scăparea în Bizant încet călătorind pe

περιθάλψεις, οἷον ἐκ πρώτης βαλβίδος τὸν προσεληλυθότα ὑποδεξάμενοι, οὐχ ἥκιστα σὺν τῇ τοῦ ἄνακτος εὐμενείᾳ ὑπὲρ πᾶσαν συναντελάβοντο ἐπικουρίαν, ὥστε ἅμα τῷ τῇ πατρῴᾳ ἑστίᾳ σχολάζοντά τε καὶ ἐλιννύοντα ἐφιζάνεσθαι, ἤδη ταῖς τῶν ὑπισχνουμένων τὰ βέλτιστα καὶ κρατούντων ἐπαγγελίαις καὶ πρὸς τὸ δυσέφικτον τῆς ἀρχῆς ἀναπτεροῦσθαι καὶ προσπελάζειν· ὁ δὲ Μηχαὴλ ἐν τούτοις τὴν τοιαύτην εὔνοιαν ὑφορώμενος, καὶ ἀσχάλλων, ἐφ' ἡνπεροῦν καθεξῆς ὡρμήσειεν βυσσοδομεύων μηχανὴν, τὸν πρᾳέος ἤθους ἀντιποιούμενον ἡγεμόνα, καί γε εἰς ῥῶσιν φιλότητος ὡς συνοικήσουσαν τὴν ἐκείνου προσμνησάμενον θυγατέρα ὑπὸ στυγεροῦ πάθους ἧττων φρονήματος καθυπεμφαίνων, δεινῶς ἀπεκρούετο.

αψλ. Τηνικαῦτα οὖν τοῦ ἐν Βιδήνῃ φρουράρχου ὑπάτου ἐπιγενομένου τῇ βασιλίδι πόλει, καὶ τὴν πανσθενῆ ἐπιτραπέντος σφραγῖδα, αὖθις μετ' εἰκοστὴν ἡμέραν ἐπὶ τῷ τῆς Βλαχίας διοικήματι ἔφορος ἀνακεκήρυκται καὶ δυνάστης, ὅς γε καὶ ποικίλαις τῶν αὐλικῶν λόγου θωπείαις περιθαλπεὶς ἐς τὸν σατραπικὸν ἀπάρας προσκάθηται θῶκον. Ἐνταυθὶ μὲν ἀμοιβαίαις ἐπιχωρίων στοργαῖς καὶ πειθηνίοις φρονήμασιν ἐποχούμενος, αὐτίκα τῶν πηδαλίων ἐπιδράττεται τοῦ σκάφους, καὶ ἅπαντα ὡς ἐχέφρων διανειμάμενος τὰ τῆς χώρας, κἀκ τῶν προσόδων ὡς ἔνι βέλτιστα ἀρξάμενος προδιατίθεται. Καινὸν μέντοι σάλον κεκινηκότος τέως τοῦ Μηχαὴλ καὶ χαμαιζήλους τινὰς καὶ βαναύσους ἀναγειραμένου, καὶ πρὸς σχετλιασμὸν καὶ ὀλόφυρσιν ἐπὶ τοῦ ἄνακτος, ὡς ἀρόρητα δῆθεν ὑφισταμένους ποτνιάσασθαι συνορμήσαντας παρεγγελεύσαντος, τὸ δεινὸν μάλα ἐπέστη τοῦ διωγμοῦ, καὶ ψοφώδης ἀνέκυψε κλύδων, ὅπερ καὶ δὴ δεδρακότα τὸν συρφετὸν, σύγκλητος ἐγχωρίων ἀρχόντων κοινῷ μὲν ἀναδραμοῦσα ψηφίσματι, καὶ τῷ παρ' ἄνακτι δικαστηρίῳ προσηγγίσασα, γενναίως τε ἀπελάσασα εἰς Λέσβον ὑπερόριον τὸν οἷάπερ γέγονεν ἐπιτεχνασάμενον γενέσθαι διεπράξαντο. Καὶ γοῦν ἐπειδὴ κατὰ τὴν ὑπερορίαν ἐπὶ ξένοις γε ὢν τὴν κόρην αἰτηθεὶς, τὴν αἴτησιν αὖ πάλιν παραιτησάμενος ἀκλινὴς καὶ ἀντίτυπος ἐξεκρούετο, τοῦ προκειμένου σκοποῦ ἡμαρτηκὼς ὁ ἀρχηγέτης, τὴν δέσποιναν Αἰκατερίναν ἀρχαίου καὶ ἡγεμονικοῦ πρέμνου ἐκπεφυκυῖαν, τό γε ἀκριβὲς ἐκτύπωμα τῆς σεμνότητος, κλεινῶς ἑαυτῷ σύννομον ἐγκυώμενος ἐπὶ νυμφῶνος τὴν ἄνθρωπον προσηγάγετο, καὶ ταύτῃ συνῴκησε, παῖδας αὐτῇ συναράμενος,

drum până ce ferberea rescóleĭ şi furtuna turburăreĭ politice liniscindu-se treptat s'a alinat. In acéstă împregĭurare, magnaţiĭ cu amabilităţĭ, amiciĭ şi rudele cu bune tratărĭ l'a întimpinat ca pre unul ce revinia din ântăiul pas al carierei şi dinpreună cu favorul împĕratuluĭ, îĭ procurau tot ajutorul, în cât abĭa se puse a şidea în linişte şi rĕsuflu în vatra părintéscă. când prin promisiunele celor de la putere şi acelor ce dădéŭ maĭ bune speranţe, se şi încumetă acum a reajunge la puterea cea grea de obţiuut. Intre acestea, Mihail, pismuind şi nesuferind o aşa favóre, plănui o nouă machinaţiune de care se determină maĭ departe, şi arată că de pasiune cumplită îşĭ perdu mintea, căcĭ în mod crud respinsă pre acest principe, ce se părea a fi de un caracter blând şi carele pentru întărirea amiciţieĭ îĭ peţisă fata spre a o lua în căsătorie.

(1730). Decĭ Paşa de Vidin devenind atuncĭ Vizir [14]) în capitală şi încredinţându-i-se sigilul de omnipotenţă, ĭarăşĭ după a doua-ḑecea ḑi Constantin s'a proclamat guvernator şi domn în principatul Valahieĭ, când şi încuragiat de felurite măgulirĭ de vorbe ale curtenilor, plecând soseşte la scaunul guvernatorial (satrapic). Aicĭ, atras de dragostea mutuală a localilor şi de sentimentele de subordinare, îndată şi apucă cârmele naveĭ, şi ca un înţelept destribui tóte dregătoriele ţăreĭ, şi începênd cu veniturile le dispune cât se póte maĭ bine. Intre aceste, Mihail stîrni o nouă învăluire şi rădicând nişte ómenĭ de rĕnd şi proştĭ, le porunci ca împreună alergând, de supĕrare şi necaz să se plângă la împĕratul ca şi cum ar suferi adecă lucrurĭ nesuportabile. Atuncĭ maĭ ales avu loc o prea cumplită persecuţie şi se iscă o furtună sgomotósă, la care luă parte maĭ ales mulţimea ĭar senatul boerilor din ţară, prin comuna coînţelegere alergând şi apropiindu-se de tribunalul împĕrătesc, şi cu curagĭŭ interind pre acusatorĭ,aŭ făcut ca uneltitorul celor întêmplate să fie exilat în Lesbos [15]). Decĭ, după ce ĭ-a cerut fata şi când acum era în exiliŭ între străinĭ, şi Mihail refuzându-ĭ ĭarăşĭ cererea, îl respinsă aspru şi neomenos, principele Constantin nereuşind în scopul propus, mareţ atuncĭ şi-a logodit consórtă pre dómna Ecaterina, născută dintr'o tulpină vechĭe şi princiară, [16]) adevĕrat model de demnitate, şi şi-a adus-o

οῦς καὶ τίτθαις ταῖς μούσαις καθωσιώσατο, τὸ σπουδαῖον τῆς πατρικῆς φιλομαθίας καὶ στιβαρὸν ὑπὸ φιλοπόνῳ ἀνατροφῇ ὀψέποτε κληρωθησομένους· ἀλλὰ τῶν μὲν κατὰ τὴν ἀρχὴν ταύτην βουλημάτων ἐν ῥαστώνῃ καὶ εὐκοσμίᾳ διὰ συνέσεως προϊόντων, ἐθελοντεὶ χαιρέκακοί τινες καὶ παλίμβολοι τῶν πολιτειῶν αἱ κῆρες καὶ λυμεῶνες τῶν καθηκόντων Γρηγόριον Γκίκαν τηνικάδε σατραπεύοντα Μολδαβίας δόλῳ καὶ μηχανῇ παρατρέποντες, καὶ σφίσιν αὐτοῖς προσχαριζόμενοι κρύφα διερέθιζον παροτρύνοντες, καί γε λιπαρωτέραν τὴν κάτω Δακίαν ὑποβαλλόμενοι ἐς μεταθέσεως ἀρχῆς πεῖραν κατίασιν, ἐπὶ τὰ νέα παρωθιζόμενοι, καὶ οὑτωσὶ ὑπερμεγέθει ἀναλωμάτων ὄγκῳ, ὁ μὲν ἀπὸ Μολδαβίας ἐπὶ Βλαχίας ἕδραν, ὁ δὲ ἀπὸ τῆς τῶν Βλάχων πρὸς Μολδαβίας δίφρον μετέστησαν ἀμοιβαδόν, περαιωθέντες καὶ παραμείβοντες τὴν ἀρχήν· εἶτα μέντοι τὸ Φωξανίου μεθόριον ἀμφοῖν καταλαβόντων τῶν ἡγεμόνων, καὶ ἐνταυτὸ συνεληλυθότων, ὁ μὲν ἐπὶ τῷ καινοτομήσαντι Γρηγορίῳ οὐδὲ τὸ σύνολον δυσχεράνας ἠπίοις αὐτὸν προσρήμασιν ὑπεδέχετο, τὴν ἔντευξιν ἑαυτῷ ἀγχώμαλος παρεστώς, καὶ παρατείνας ἐπὶ τὸ πρόσφορον τὸν τῆς διαλέξεως εἱρμὸν ἐς τουτοῒ κατέπεισε παραινέσας, ὥστε τὸν ἤδη γεγηρακότα Μιχαὴλ καὶ ὑπερόριον κοινῇ ἀμφοτέρων συνεισφορᾷ τῆς φυγῆς ἀπαλλαγέντα, καὶ τὴν κάθοδον προσκτώμενον ἐς τὰ ἴδια κατελθεῖν, ὅπερ καὶ προτροπῇ τοιαύτῃ τοῦ κρείττονος γέγονε συνεργομένου τοῦ θείου.

αψλγ. Οὐκοῦν οἱ περὶ τὸν ἡγεμόνα ἐπὶ τὴν Μολδαβικὴν ἀφικόμενοι, καὶ τῇ προσφάτῳ ἡνιοχείᾳ ἐφεδρεύσαντες, ἅπασι μὲν τοῖς ἐκεῖσε, εὖ μάλα δὲ τοῖς τοῦ προηγεμονεύσαντος ἐπιτηδείοις, τοῖς γε πλείοσι τῶν ἀγχιστέων τοῦ Μηχαὴλ ὑπογραμμὸν πάντως τῶν ἰδίων ἔργων τὴν ἐπιείκειαν προπηξάμενοι χάριτας ἐπηδαψιλεύσαντο καὶ τιμάς, τοῦτο μὲν ἀτεχνῶς συμφρονούμενοι, ὅπως τούς τε ἑταίρους καὶ ἀλλοτρίους συνήθεις τε καὶ γνώμην ἀφεστηκότας, τῇ τοῦ εὐεργετήματος περιουσίᾳ τῶν καθηκόντων ἀπηρτῆσθαι συμβῇ. Ἡνίκα δ' οὖν παρατεινομένης τῆς περὶ τὴν ἐκλογὴν Στανισλάου καὶ Φριδερίκου ἀμφισβητήσεως τῇ λεχικῇ ἐμβαλόντες οἱ Μόσχοι, στρατεύμασι τὸν ἐκεῖσε χῶρον ἐνέπλησαν ἐπὶ ἀναιρέσει τῶν ὑπεναντιων καὶ ἀποτροπῇ, καὶ θεραπείᾳ τῷ Ὀθωμανικῷ κράτει ἐπιγιγνομένης ὑπονοίας, Σκῦθαι μὲν πλεῖστοι ὑπὸ βασιλεῖ αὐτόχθωνι ἐγκελευσθέντες, καὶ περὶ τὸν Νίστρον ποταμὸν ἑξάμηνον ἀγραυλοῦντες, κἀκεῖσε

de femee în camera sa nuntală, cu care și conlocuind și-a rădicat cu dênsa copiĭ, pre care ĭ-a și consacrat muselor ca unor nutrice spre a cleronomisi când-va prin o creștere laboriósă, seriósă și statornică iubire de învĕțătură a tatăluĭ lor. Dar pe când disposițiunele luate în acéstă domnie înainta cu prudență în liniște și bună regulă, niște voitorĭ de rele și netrebnicĭ, destrugătorĭ de state și băntuitorĭ acelor stabilite, cu viclenie și ghibăcie ademenind pre Grigorie Ghica ce guverna atuncĭ Moldova, și atrăgêndu-'l la dênșiĭ pe ascuns îl escitaŭ cu sfaturĭ, și propunêndu-ĭ principatul Dacieĭ de jos ca maĭ avut, îl aduc la încercare de schimbarea domnieĭ, împingêndu-'l la întreprinderĭ noue; și așa cu o prea mare sumă de cheltuelĭ s'a strămutat alternativ preschimbându-șĭ domnia și trecênd unul din Moldova la tronul Valahieĭ, iar altul de la cel al Valahilor la scaunul Moldoveĭ. Apoĭ ambiĭ principĭ sosind la confinia Focșanĭ, și întâlnindu-se la un loc Constantin nicĭ-cum superat contra intrigătoruluĭ Grigorie la primit cu cuvinte dulcĭ presentându-se la întimpinare egal cu sineșĭ, și întindênd șirul conversațiuneĭ cât maĭ potrivit, la convins cu sfatul la aceea în cât prin comună contribuțiune a ambilor să readucă pre bĕtrânul acum și disteratul Mihail la propia sa casă, eliberându-l de exiliŭ și recâștigându-ĭ întórcerea; ceea ce se și făcu ajutând și divinitatea la o ast-fel de stimulare spre maĭ bine [17]. (Anul 1733).

Decĭ, sosind Domnul cu curtea sa în Moldova, și așeḑêndu-se în noua cârmuire, a împlut de grațiĭ și onorurĭ pre toțĭ ceĭ de acolo, iar maĭ ales pre amiciĭ precedentuluĭ domnitor și pre ceĭ maĭ mulțĭ din afiniĭ luĭ Mihail, avêndu-șĭ în adevĕr de maĭ nainte stabilită blândeța ca program faptelor sale; iar acésta din considerațiune, cum amiciĭ și străiniĭ, intimiĭ și ceĭ de alte opiniunĭ, prin abodența bine-facereĭ, să pótă fi pușĭ în dependență de îndatoririle lor. Dar când pe de oparte, din causa disputeĭ prelungite între Stanislau și Frederic pentru elecțiunea la tronul Polonieĭ, Moscaliĭ năvălind în țara Leșască a împlut localitatea aceea cu armate pentru alungarea și stârpirea contrarilor lor; iar pe de alta, dupre chibzuirea făcută pentru apărarea statuluĭ Otoman, fórte mulțĭ Tătarĭ (sciţĭ) cu sultanul (regele) lor îndi-

ἐπαυλιζόμενοι, παρελόγχων ἐπιτηροῦντες, ὅπου καὶ σπουδαῖον πολίτευμα γενναίου φρονήματος ὑποπιμπλάμενον στιβαρά τε φρόνησίς τοῦ πρυτάνεως, τὸν ἄλλως αὐτῷ εὔνουν καὶ προσηνῆ σκυθικὸν κοίρανον λόγοις τε καὶ δωρήμασιν ἐπιθωπεύουσα ἐλοχῶντα Σκυθῶν πλήθη, ἐπὶ λύμῃ ὡς εἴωθεν ἐπιόντα ἐπιδρομαῖς τε κεχηνότα καὶ ἁρπαγμοῖς νουνεχῶς ἀνεστείλατο, καὶ λείας ἐπὶ τῇ χώρᾳ ἁπάσης, συλλαγωγίας τε καὶ λαφύρων οἱονεὶ τὴν ἀκατάσχετον ἵππον ἀναχαιτίζουσα. τὸ ὀῤῥωδοῦν ὑπήκοον προσφυῶς ἀνεῤῥύσατο· ἐπὶ τούτοις μὲν γε τῆς περὶ τὴν Λεχικὴν οὐ σμικρὸν τάραχον καὶ ψόφον ἐπαγαγούσης τῶν Μόσχων στρατοπεδεύσεως, ἄνακτος παρεγγελεύσεις μεγάλαι τε καὶ συνεχεῖς, ἀλλεπαλληλίᾳ ἐπιφοιτῶσαι, ὀργάνων δὴ πολεμικῶν τεκτονικῆς ὕλης ἐργολαβούντων καὶ ἁμαξῶν, μηχανημάτων ἐς ἐρυμνότητα πόλεων, καὶ φρουρείων ἀσφάλειαν ἐκπομπαὶ, ἀεὶ τὸ ἐπὶ τὴν ἐργασίαν τοῦ βασιλικοῦ νεύματος κατεπεῖγον αὐτοῦ καὶ ἔντριχὲς ἐξήσκουν καὶ παρενέφαινον.

Ἐπεὶ μέντοι γε τὴν παράσπονδον ἀτραπὸν τῆς μὴ τοιαύτης ἀνθαιρούμενος ὁ Γρηγόριος, καὶ φρενοθελγέσιν ὑπούλων τινων ἐπῳδαῖς καθυπείκων οὐ λέληθε τὴν σφηκίαν κινήσας, ἀλλὰ ἀπεχθείᾳ καὶ λώβῃ ἤρξατο προσομιλῆσαι λογάδην, ἵνα τῆς τῶν Μολδάβων τοῦτον ἀπώσηται· Ταύτῃ τοι οὐχ ὑπερορῶν οὗτος τὴν ὕβριν, καὶ ἀμυνόμενος νέας μετὰ τοῦ Μιχαὴλ ἐπὶ ἀνακράσει κηδεστίας συνεῖρε σπονδὰς, καὶ τὴν μὴ ἀνυπόκριτόν γε ἐκείνου ἁρμογὴν καὶ συνάφειαν ἀποπτυόμενος, σὺν ἐπικουρίᾳ τῶν τῆς αὐλῆς προσταττούντων, τὴν ἀκροτάτην τότε οὖν ὑπατείαν ἐπιτετραμμένου τοῦ ἐν Βαβιλῶνι προδεσποτεύσαντος, εὐθὺς ἐς Βλαχίας θῶκον ἀπέπτη τῷ οἴακι ἐπικαρτερῶν τῆς δεσποτείας, καὶ γεραρῶς προσκαθεζόμενος. Καὶ ἄρτι μὲν τῷ πάλαι προπαγέντι τῆς εὐμενείας κανόνι ἀπρὶξ ἐφεπόμενος, ἀδαπάνητος γὰρ, Θεσπίδου φήσαντος, τῆς εὐποιΐας ὁ πλοῦτος, ἅμα τοῖς ἰδίοις θεράπουσι τοὺς γε ὑπὸ Γρηγορίου εὖ πεπονθότας ἐπίδοξος ἦν ὁμαλῶς πως προσηνοῦς φιλευεργεσίας νάμασιν ἀναψύχων καὶ καταρδεύων· Εἶτα μὲν γε τοῦ τῶν Γερμανῶν τῷ προαρξαμένῳ τῶν Μόσχων κατὰ τῆς ὀθωμανικῆς βασιλείας προσδιαῤῥαγέντος πολέμου, ἐπεὶ ὁ περὶ τὴν Τρανσιλβανίαν ἀρχιστράτηγος οἱονεὶ τὰ βελτίω σκεψάμενος, ὅπως ἣν διεφρούρει ἡγεμονίας ἀρχὴν τῷ καισσαρικῷ ὑποτάξειε κράτει, ἁμαξιαίοις ῥήμασιν ἐπικομπάζων παρῄνει καὶ προετρέπετο· φόρους ἐπὶ τούτοις καὶ τέλη ἐς ἀνακουφισμὸν ἢ ἐπεδείκνυτο

gen luând poruncă s'aŭ aşeḑat pentru şase lunĭ pe lângă rîul Nistru şi tăbărînd pândeaŭ de aprópe mişcările inimicilor [18]); atuncĭ guvernarea cea seriósă, plină de îngrijire generósă şi prudenţa cea deştéptă a capuluĭ statuluĭ, măgulind cu cuvinte şi darurĭ pre sultanul Tătarilor carele de alt-feliŭ îĭ era favorabil şi prieten, cu înţelepciune a stavilit mulţimele Tătarilor cele pânditóre, de obiceiŭ năvălitóre spre stricăciunĭ şi dedate la incursiunĭ şi prădăciunĭ; şi aşa înfrânând călărimea cea întru cât-va nereţinută de la orĭ-ce pradă în ţară, de la devăstărĭ şi jafurĭ, scăpă într'un chip nemerit pre supuşiĭ săĭ ceĭ înfricaţĭ. Intre aceste, fiind-că tăbărîrea Moscalilor în Lehia căuzasă nu mică turburare şi sgomot, necontenite şi marĭ ordine împĕrăteştĭ sosind unul peste altul ţineaŭ pururea în activitate şi făceaŭ a se manifesta silinţa şi stăruinţa domnitoruluĭ la împlinirea voinţeĭ împĕrăteştĭ, prin trimiterĭ de instrumente resbelice, de cherestea, de întreprenorĭ, de care şi unelte spre întărirea oreşelor şi asigurarea forţereţilor [19]).

Dar fiind-că Grigorie apucă pe o cale nelegală şi nedréptă, plecând urechia la linguşirele măgulitóre ale unor ómenĭ viclenĭ, şi stîrnĭ vespele nu într'ascuns, ci vicleneşte începu a lucra cu ură şi rĕutate ca să alunge pre Constantin din Moldova. De aceea acesta nesuferind î juria şi resbunându-şĭ începu a contracta cu Mihail noue învoelĭ de înrudiri [20]), şi respingênd contactul şi corelaţiunea făţarnică a aceluĭa, cu ajutorul protectorilor săĭ de la curte (Pórtă) căcĭ atuncĭ obţinusă înalta demnitate de Vizir Paşa din Babilon [21]), sbură ĭarăşĭ în scaunul Valahieĭ (1735), întărindu-se la cârma statuluĭ şi cu onóre aşeḑêndu-se. Şi acum strîns ţinêndu-se de principiul de mult înainte stabilit al buneĭ-voinţĭ, că cum ḑice Tespid: „avuţia bine-facereĭ este necheltuită“ [22]), de-o-dată s'a ilustrat de o potrivă recreând şi adăpând cu apele uneĭ înbucurătóre bine-facerĭ, atât pre sevitoriĭ săĭ, cât şi pre ceĭ ce fură bine-făcuţĭ de Grigorie. Apoĭ când se iscă resbelul Nemţilor, preste cel de maĭ nainte început al Moscalilor, contra împĕrăţieĭ Otomane (1737), fiind-că generalisimul din Transilvania, după cugetărĭ adecă maĭ bune, fălindu-se îndemnă cu vorbe marĭ şi sfătuia pre domn ca să supue statuluĭ Austriac guvernul principatuluĭ ce

τοῦ ὑπηκόου προστιθέμενος· ἐκεῖνος μὲν τοι τοῖς λήροις ἀῤῥαγής, καὶ παρεγγὺς φανεὶ μέγιστος ἄκμων οὐ φοβούμενος τοὺς ψόφους, καὶ νοῦς ἐχέφρων τὴν ἕλκουσαν βίαν, οὐκ ἔστιν, ἔφη, πρὸς ἐμοῦ δοῦναι ὅπερ οὐκ ἐμόν· ὅτῳ δὲ ἂν οὖν τὸ θεῖον τὴν νίκην ἐπιβραβευόμενον δῴη κτήσεσθαι, ᾧδε ἐν πίστει ἀπεριτρέπτῳ ὑπουργησαίμην ἀποσκιρτῶντα βασιλέως ἐκστῆναι, θεῖος ἀπείργει με καὶ πολιτικὸς νόμος· οἱ οὖν Γερμανοὶ ἐντοσῶδε τῇ χώρᾳ ἐνέβαλον, καὶ ἅμα ἀντιπαρεξαγαγόντος τοῦ ἡγεμόνος τὸ πᾶν τῇ ἐπελεύσει τῶν πολεμίων συντεθόλωται, ὁ τῶν συγκλητικῶν ὅμιλος διεσπάρη, καὶ πρὸς τῷ μηδαμῇ περαίνεσθαι τὰ δημόσια σπάνει στρατοῦ ἀντιπαραταχθησομένου διέθλιβε τὸν κρατοῦντα, καὶ μονονοὺ ἐς ἀμηχανίαν παρώθει καὶ κατεπείγετο· ἀλλὰ τῆς μὲν μεγαλονοίας τῶν ἡρώων τὰ πλεῖστα περὶ τὰ δεινὰ ἐπεμφαινομένης (καὶ γὰρ καταθήγουσα ἀκόνη ἡ δυσπραγία τοῦ παραστήματος τὸ τῆς φύσεως βλιχρὸν ἐπαίρουσα, καὶ τὸ ὑποκύπτον πλειστάκις καὶ χαμερπὲς ἀνεπτερώσατο) τους ἐν παραβύστῳ σπινθῆρας τῆς ἐνδομυχούσης φρονήσεως ὡς παρεκθλίβων καὶ ὑπεκκαύσας τὸ κατὰ τὴν ἀτυχίαν σκαιὸν ὑπερέβαλεν ἀντιπαλαίων τῷ λήματι· τῶν μὲν οὖν πολεμίων εὐθὺ ἐπὶ τὴν τῶν ἀρχείων καθέδραν ἀναζευξαμένων ἄντικρυς πρὸς Ἴστρον ποταμὸν ᾤχετο ἀπιών, μένος καὶ θυμὸν ὀτρυνάμενος, οὗ περὶ τὰς ὄχθας ἐν σκηναῖς καταυλιζόμενος, στρατιὰν συγκατελέγετο, πολεμιστὰς ἀπαρτύων, ὅτε δὴ καὶ ἐν βραχεῖ τὸν στρατὸν ἰδίοις ἀναλώμασι σὺν τῷ παρὰ τῆς βασιλείας ἐπιφοιτῶντι συνειλοχώς, καὶ ἀπαρτίσας αὐθημερὸν ἀναλύων προσέσχε τῇ πόλει, περὶ τὴν αὐτὴν στρατοπεδευσάμενος χώραν· ὁ δὲ γερμανικὸς στρατάρχης δισχιλίοις ἐν τοσούτῳ ἐς Βουκουρέστιον παρελάσας, καὶ τὴν ἄφιξιν ἀκηκοὼς τοῦ ἐπερχομένου στρατοῦ ὑποστρέψας ἀπετράπη αὐτόχρημα τῆς ὁδοῦ, ἀλλαχόσε ἐπεκδημήσας, καὶ πρὸς τὸ ἀντιπαρεξιέναι καὶ ἐνυβρίσαι στρατηλάτην χιλίαρχον, μετὰ καὶ τριακοσίων ψιλῶν στρατιωτῶν ἐκπεμψάμενος, οἵγε τοὺς ἐπὶ τῆς βουλῆς, καὶ τὴν τοῦ θρόνου ἐπιτετραμμένους φυλακὴν ἅμα τῷ ἐνταυθὶ ἱεράρχῃ ἄφνω συλλαβόντες ἐζώγρησαν ἐκεῖθεν ἀπαγαγόντες· τῇ οὖν ἐπιούσῃ χάρακα περὶ τὴν παρεμβολὴν διορυξάμενος ὁ στρατοπεδάρχης ἡγεμών, καὶ τῇ τῶν γενηθησομένων μελέτῃ καὶ εὐαρμοστίᾳ τῆς ἐκστρατείας ἐνδελεχῶς διασχολούμενος τοῦ τῶν ὑπεναντίων στρατηγοῦ κατὰ χώραν προνομεύοντός τε καὶ σποράδην ἐπιλυμαινομένου τὸν ἐπιχώριον δῆμον, στρατιώτας εἰς διατήρησιν καὶ κατασκοπὴν παρέπεμπεν ἐπὶ τοὺς ἀντιβαίνοντας κάρτα τὴν ἔπελασιν ἐντειλάμενος οἵτινες καὶ γερμανῶν, τὰ μὲν δορυαλώτων καὶ ζωγρηθέντων οὐκ ὀλίγους, τὰ δὲ τραύμασι καὶ φόνῳ

are în pază: reformând pentru acésta contribuţiele şi dările spre uşurarea supuşilor aşa cum de dênsul i se arăta [23]). Acesta neatins de bărfele şi aşa ḑicênd ca un prea mare ilăŭ ce nu se teme de plesniturĭ şi o minte înţeléptă de forţa ce o atrage, ḑisă: nu-ĭ în puterea me a da, ceea ce nu este al meŭ. Ci cuĭ divinitatea a dat a câştiga victoria ca un premiŭ, aceluĭa servesc cu credinţă nestrămutată, ĭar a mĕ desbina de la împĕratul prin revoltă, mĕ opreşte legea divină şi politică. Intre aceste Nemţiĭ aŭ invadat în ţară şi în timp ce domnitorul voi ale eşi înainte cu armată, cu venirea inimicilor totul s'a turburat: céta divaniştilor s'a împrăştiat şi pe lângă că afacerile publice nicĭ cum nu se maĭ indepliniaŭ, din lipsa armateĭ de opus inimiculuĭ, Domnitorul chĭar era strimtorit, şi de aprópe constrîns şi redus la nedomerire [24]). Dar geniul Eroilor apare maĭ cu samă în dificultăţĭ, (căcĭ restriştea ca o cute de ascuţit agerind têmpirea naturală a curagĭuluĭ, îĭ rîdică adesa umilirea şi înjosirea); drept care, scoţênd óre-cum afară şi aprinḑênd scânteele cele ascunse în adêncul inteligenţeĭ sale, principele păşi preste nenorocirea cea sinistră luptând cu curagiŭ. Decĭ pre când inimiciĭ porniră răpede la residenţa autorităţilor. şi Constantin de mânie şi de supĕrare cuprins, plecând se duSă drept la rîul Dunărea, pe lângă ţĕrmurile căreĭa aşeḑîndu-se în corturĭ, îşĭ strîngea armată, adunând luptătorĭ, când chĭar în scurt şi formându-şĭ armia cu cheltuelele sale şi cu cea sosită de la împĕrăţie, şi pregătindu-o, în aceeaşĭ ḑi purcesă şi apropiindu-se de oraş, îşĭ aşeḑă tabăra în o posiţie aprópe. Iar generalul némţ în acest timp înaintând spre Bucureştĭ cu două miĭ de soldaţĭ şi auḑind de sosirea armateĭ ce venia, întorcêndu-se se abătu cu totul din cale, plecând aĭurea, şi pentru a se presenta contra armateĭ principeluĭ şi a o batjocori, trimisă un comandant de o mie din preună şi cu treĭ sute de soldaţĭ sprintenĭ (călărĭ), cariĭ fără veste prinḑênd pre boeriĭ divaniştĭ însărcinaţĭ şi cu paza tronuluĭ, precum şi pre Ierarhul local, ĭ-a luat captivĭ îndepărtându-ĭ de acolo [25]). In urmare Domnitorul comandant al armateĭ pusă a doua ḑi de se săpă şanţ împregĭurul tabereĭ, şi necontenit ocupându-se cu îngrijirea celor ce urmaŭ a se face şi cu întoc-

διεφθορότων, καὶ συγκατεσφαγμένων κεφαλὰς ὁ σημέραι ἀποκομισάμενοι, τὸ ἐκεῖσε πολεμικὸν ὅσον οὔπω κατεστραμμένον διετάραξαν καταπλήξαντες· τοῦ μὲν ἄρα τῶν γερμανῶν στρατηγοῦ πάνυ γε ἀπηνῶς καὶ ἀσπόνδως κατὰ τῶν ἑλκυκότων παρέδρων, ὁμοῦ τοι καὶ λοιπῶν ἀρχομένων ἐξορμήσαντος, καὶ ἐπηρεάζοντος, ἐφόδοις γὰρ οὗτος μηδόλως καὶ τῶν ἱερῶν φειδόμενος ἐνδιετέλει λεηλατῶν καὶ περιαιρούμενος· τῇ δε κἀκεῖσε καταδραμὼν, τοὺς πλείστους ὁ γεννάδας τηνικαῦθα τῶν ἐγχωρίων προσηνῶς ἑαυτῷ κατεκήλει, τῶν ἰδίων μὲν, οἴκτου δὲ μεστῶν ἀπαρτησάμενος παραινέσεων. Ἐπείπερ δὲ διασπαρέντα τὰ πλήθη τῶν ὑπὸ δυσμενοῦς ἔριδος τετρυχωμένων λαῶν ἐς ὄρη κατέφυγε καὶ δρυμοὺς, τὸ μέγεθος ἐκπλαγέντα τῆς συμφορᾶς, τῶν ἐπιτηδείων ὑστερήσας (τοῦτο δὴ τὸ τῆς μάχης δυσχερές καὶ ἀμήχανον, δεινὸν μὴν ὑποθολῶσαι τὰ νάματα τῆς στρατηγικῆς εὐκοσμίας) καὶ στρατιωτικῆς ἀγορᾶς ἐν σιτοδείᾳ σπανίζων, τηνάλλως ἐξ ἐρήμης τὰς τροφὰς ἀπεκαραδόκει, καὶ δὴ τὴν ἀφ' ἱερᾶς ὡς εἰπεῖν, κεκινῆσθαι δεῖν, μήτε μὴν τηλικούτους οἰόμενος παραβαλέσθαι κινδύνους, τὴν μὲν σιτοπομπείαν ἐκ τῶν πέραν τοῦ Ἴστρου εὐποριστοτέραν ἀποφερόμενος τὰ ἐς μισθοφόρων σύνταγμα διανεμηθησόμενα χρήματα ἀπὸ τῆς τῶν πόλεων πρωτευούσης κυρίως ἤδη καθείλκυσεν, ὥς τε τὴν εὐπορίαν ὑπὸ προνοίᾳ συνέσεως τῇ ἀπορίᾳ προσγιγνομένην, τροφὰς ἐξαπίνης καὶ μισθοδοσίας ἀπαντλῆσαι καὶ δωρεὰς ἐς στρατιώτας καὶ κατασκόπους, καὶ ταύτῃ τὸ δυσήνιον προσφόρως τῆς ῥᾷδιον βρενθυομένης ὀθωμανικῆς στρατιᾶς χαλιναγωγῆσαι, καὶ τῆς βιαίας αὐτῶν ἐκδρομῆς καὶ λαφυραγωγίας τὸ χωρίον προσαπαλλάξασθαι.

Ὡς δ' οὖν ὕστερον ἡ τῆς τῶν γερμανῶν ἐς Ἰλλυρίους ἐξορμήσεως διακεκοίνωται φήμη, καὶ θροῦς τις τὸ τῆς Νήσης φρούριον ἁλῶναι ὑποτετονθώρισται, τὸ μὲν αὐτῷ παρεκστρατευόμενον ἱππικὸν τῶν βοσνίων τὰ τῆς ἐπιστροφῆς ἐξαρτύσαντες, τῷ τῆς πατρίδος ἄλγει ἐξαπιναῖοι τῆς ὁδοιπορίας ἐγένοντο, ὥς περ οὖν εἶχον ὁρμῆς τὴν τρίβον ἀνυσόμενοι, καὶ προσαμυνούμενοι τοὺς ἀντιπάλους· διὸ περ καὶ τοὺς ὑποκεχωρηκότας ἄλλοις μὲν ἀναπληρωσάμενος ἐπιτάγμασι, καὶ στρατιωτῶν λόχους αὖ νεωστὶ ἀντιτάξας καὶ ἰλαρχίας,

mirea expediţieĭ, trimetea soldaţĭ spre observarea şi spionarea generaluluĭ inimicilor, carele prăda în ţară pentru hrana cailor şi pe icĭ colea jăfuĭa poporul local; Domnul dădu încă ordine soldaţilor ca tare să respingă pre atăcatorĭ, pentru care aceştiĭa în fie-ce ḑi aducênd Nemţĭ, nu puţinĭ captivĭ prinşĭ viĭ, ĭar ale altora, răniţĭ şi căḑuţĭ în luptă [26]) numaĭ capetele tăĭate, cu spaĭmă turbură pre duşmanul de acolo aprópe destrus [27]). Decĭ generalul Nemţilor se porni fórte aspru şi trata duşmăneşte pre dregătoriĭ captivĭ, precum şi pre ceĭ-lalţĭ supuşĭ, căcĭ dênsul necontenit prada şi atacând-ĭ în cóce şi în colo jăfuĭa necruţând nicĭ chĭar templele, atuncĭ vitézul pre ceĭ maĭ mulţĭ dintre locuitoriĭ ţăreĭ îĭ atrăgea cu blândeţa la sine, făcêndu-ĭ a se lua dupre îndemnările sale, cele însă pline de milă. Dar fiind-că mulţimele poporuluĭ celuĭ struncinat de certele duşmane refugisă la munţĭ şi pădurĭ, împrăştiindu-se pentru spaima de mărimea restrişteĭ, Constantin se lipsi de cele necesare (ceea ce tocmaĭ face greutatea şi imposibilitatea resbeluluĭ, şi este în stare a turbura apele disciplineĭ militare) şi neavând în lipsă de hrană, de unde cumpĕra pentru armată, în zadar aştepta nutrimente din pustiŭ, pentru care trebuind a se mişca aşa ḑicênd, din acéstă estremitate, şi ne maĭ credênd bine a se espune la atâtea pericule, începu a aduce nutrimente maĭ cu înlesnire din ţările de preste Dunărea, ĭar baniĭ de împărţit la corpul mercenarilor ĭ-a tras acum tocmaĭ din capitală, în cât îmbelşugarea, prin o provedere inteligentă înlocuind lipsa, de-o-dată făcu a se destribui nutrimente, lefurĭ şi darurĭ la soldaţĭ şi la spionĭ, şi aşa nemerit se înfrênă insubordinarea armateĭ otomane, ce uşor se sborşeşte, şi scăpă ţara de violenta lor încălcare şi prădăciune.

Dar îndată-ce maĭ în urmă s'a comunicat faima de pornirea Nemţilor în Iliria şi s'a şoptit un murmur despre luarea cetăţeĭ Nisa [28]), călărimea Bosniacilor ce era cu Constantin tăbărită pregătindu-se de reîntórcere, pentru durerea patrieĭ numaĭ decât porniră pe drum, spre a termina cât maĭ răpede călătoria şi a respinge pre inimicĭ. Pentru care îndeplinindu-se ceĭ retraşĭ cu alte trupe şi maĭ înrolându-se din noŭ alte cete de soldaţĭ şi de cavalerie, după treĭ ḑile a ple-

περὶ τριταίαν ἐπὶ Τυργόβιστον οἷα δῆθεν βασίλειος ὀφθαλμὸς κατὰ τῶν πολεμίων παρεξηλάσατο· τοῦ δὲ γερμανικοῦ ἀνταγωνιστοῦ μετὰ τετρακισχιλίων καταφράκτων ἐς Καμπουλούγκιον ἀνασωθέντος, τό γε πλεῖστον τοῦ ἐκεῖσε χωρίου ἐνίων τῶν κατὰ τὴν ὀθωμανικὴν φάλαγγα πυρὶ διαπρησάντων ἅμα τῷ τὸν στρατὸν ἀνακάμψαι πεντακοσίους ἐπὶ χιλίοις ἀνδρείᾳ πρὸς μάχην ὀργῶντας ἀπὸ τοῦ βασιλικοῦ στρατοπέδου παρειληφώς, πρός γε ἐκ τῶν ἐγγὺς παρακειμένων φρουρείων, ἄνακτος ἐπινεύσει δισχιλίους παραδεξάμενος ἐπὶ τὸν ἐκεῖσε προαναστάλεντα ἐχθρὸν ἀντιπαραξιὼν ἀνεζεύγνυτο.

Συναντήσαντες οὖν τοῖς περὶ τὸν στρατάρχην πολεμίοις τὸ οὕτω συντεταγμένον ἄγημα, καὶ ὁμόσε χωροῦντες προσηῤῥάξαντο σφοδρῶς ἐπιθέμενοι, καὶ μάλα προϊόντος τοῦ ἄθλου τῇ μάχῃ πρὸς καρτερήσαντες τοὺς ἐῤῥωμένως ἀντιστρατευομένους, διαμπερὲς σκεδαννύμενοι καὶ ὑπερακοντίζοντες προσαπώλεσαν, ὧν τετρακοσίους μὲν μετὰ τοῦ πεσόντος στρατηγοῦ διεχρήσαντο, τριακοσίων μάλιστά πως αἰχμαλωσίᾳ ἁλισκομένων, οἱ δὲ θανάτου μὴ μετασχόντες τὴν ἧτταν πεπληγμένοι, καὶ ὅλως διαπορούμενοι δραπέται γεγόνασι, τραυμάτων γέμοντες, καὶ προτροπάδην ἀποδεδρακότες· καὶ γὰρ τοῦ καισαρικοῦ ἀρχιστρατήγου ἐπὶ τῇ προαγγελθείσῃ φθορᾷ τῆς στρατηλασίας ἀποκεχωρηκότος, τοὺς μὲν διαδράντας, τῇ δευτεραίᾳ διώκοντες οἱ ὁπλῖται, καὶ οὐ σμικρὸν δηώσαντες τῆς ἧς ὁ τῶν πολεμίων στρατὸς ἀπήλλακτο χώρας, ἄχρι τοῦ ὁμόρου συμπαρεκτείνοντο, γυναῖκας στρατιωτῶν καὶ ἁμάξας ἀποσκευῆς μετειληφότες, καὶ αἰχμαλώτους ἀφαρπασάμενοι. Συνεκρότει γοῦν ἐπὶ τοιοῖς δὲ τὰ πρὸς τὸν φερέπονον ἔπαρχον τῆς βασιλείας γράμματα καὶ ἐπαίνοις τῷ ἔμφρονι συνέχαιρε διοικήματι, πρός γε καὶ δωρεαῖς τοὺς ἐπ' ἀριστείᾳ μαχεσαμένους εὐφήμως ἐπέστεφε καὶ διεκόσμει· ἐνίους μέντοι γε οὕτως τῶν στρατιωτῶν τῇ κατὰ νίκην ἀλαζονίᾳ τὴν διάνοιαν πεφυσιωμένους, παῖδας μὲν ἀδεῶς τῶν ἐνοικούντων καὶ παρθένους ἀφηρηκότας (καὶ δήπου οὐκ ἀπεικὸς ἐπὶ πολεμικῇ ἀλογίᾳ τουτὶ καὶ ἐν τῇ ἰδίᾳ δρᾶν τοὺς ζυγομαχοῦντας βαρβάρους) δραστήριον γε καὶ ἄκαμπτον ἐπενδεικνύμενος, τὸ τῆς γνώμης εὔζηλον πρὸς ὑπηκόων ἐπαρωγὴν συνέστειλε τῆς στρεβλώσεως, καὶ ἀδίκου αἰχμαλωσίας ἀποσπασάμενος τοὺς ἁλόντας· διάτοι ταῦτα περὶ τὴν ἐκστρατείαν ἐκείνην τῆς συγκλήτου τινων προκαταπεφευγότων εἰς Ἐρδηλίαν ὁ πάλαι ἐπτοημένος ὄχλος ἄχρι δεῦρο ὄρεσι καὶ δρυμοῖς ἐμφωλεύσας τῆς φθορᾶς ἤδη τῶν ἀλλοτρίων ἀπαλλαγέντες συνήεσαν ἐξεληλυθότες, καὶ ταῖς οἰκείαις παρακαθεζόμενοι ἕδραις· ἄρτι μὲν ἄρα τὰ σκεδασθέντα πλήθη ἀναῤῥωννύμενα, συμ-

cat în fruntea armateĭ contra duşmanilor la Târgoviştea, ce este ca un ochiŭ împĕrătesc [29]). După ce adversarul Némţ se retrase cu patru miĭ de chiuraserĭ la Câmpu-lung, uniĭ din armata otomană pârjolind cu foc cea maĭ mare parte din acea localitat îndată după reîntórcerea armateĭ [30]), Vodă luă din lagărul împĕrătesc ómenĭ cincĭ-sute de voinicĭ arđĕtorĭ de bătae, pe lângă cariĭ maĭ primind cu învoirea împĕratuluĭ două miĭ de la cetăţele situate în apropiere, plecă spre a se opune duşmanuluĭ ce de maĭ nainte se retraseră acolo.

Decĭ armia aşa constituită întâlnindu-se cu trupa generaluluĭ Austriac, şi înaintând aprópe, tare s'aŭ lovit în atac şi în cursul lupteĭ maĭ mult încă persistând în bătae şi de tot împrăştiind pre adversariĭ ce puternic se luptaŭ în contra, I-aŭ învins şi încă pre maĭ mulţi aŭ perdut: dintre cariĭ patru sute aŭ omorît din preună cu generalul căđut în luptă, ca la vr'o treĭ sute fură prinşĭ captivĭ iar ceĭ scăpaţĭ de mórte spăriindu-se de înfrângere şi cu totul bulmăciţĭ a rupt-o de fugă, plinĭ de rane, şi fugind cât le lua călcâele [31]). Apoĭ fiind-că generalisimul Austriac s'a retras după ce i s'a anunţat perderea espediţieĭ sale, soldaţiĭ din armata princepeluĭ gonind şi a doua đi pe fugarĭ, şi devăstând nu mică parte din localitatea, de unde se retrăsese armata inimică, se întinseră până la hotar, când aŭ prins femeĭ de ale soldaţilor şi cară de bagagiŭ şi a răpit captivĭ. În urmare pentru acestea compusă scrisorĭ către infatigabilul Vizir al împĕrăţieĭ felicitându-'l cu laude pentru înţelépta administrare, încunună încă frumos şi remuneră cu darurĭ pre ceĭ ce se bătuse brav. Dar fiind-că uniĭ din soldaţĭ, sumeţiţĭ în mintea lor de fala victorieĭ, răpise fără sfiire copiĭ şi fete de a le locuitorilor (lucru ce probabil din causa furieĭ resbelice, barbariĭ bătându-se între sine îl fac chiar şi in ţara lor), Vodă arătându-se ager şi necedător în zelul sĕŭ pentru apărarea supuşilor îĭ înfrână, luându-le cu sila pre ceĭ răpiţĭ şi scăpându-ĭ de o captivitate nedréptă şi de la perđare [32]) Pentru acestea fiind-că în espediţiunea aceea uniĭ dintre senatorĭ (divaniştĭ) de maĭ nainte refugiaţĭ în Ardeal şi mulţimea spăriată încă de mult, până acum se aciuasă în munţĭ şi pădurĭ, acum eliberaţĭ de încălcarea străinilor a consimţit

βάλλει αὖθις πρὸς ἄλληλα καὶ συναγελάζεται, καὶ τὸ ἄλλοτε ἄλλη ἀπονοσφισθὲν ἕκαστα διέγνω τὸ ὁμόφιλον καὶ ἐφ' ἑστίας εἰσοικισθέντα κάλλιστά πως συνέστη. Ἐκεῖνος δὲ καὶ ὑπὲρ τῶν ἐπὶ τὴν πολεμικὴν διολισθησάντων, τὸν ἐπαπειλούμενον τῆς ἀποστασίας κίνδυνον ἀφοσιούμενος, πίστιν ἀκήρατον ὑπισχνεῖτο τῷ βασιλεῖ, καὶ ἐπ' ἀγγύῃ στεῤῥᾶς καὶ ἀπαρατρέπτου δουλείας αὐτοῖς ἐπαμύνων, καὶ φερέγγυος, διαγραφὴν βασιλικῆς περιθάλψεως γέμουσαν καὶ εὐνοίας πρὸς τὴν ἐπὶ τὴν πατρῴαν γῆν αὐτῶν κάθοδον, τὰ κρείττω ἐμπορυσάμενος ἐπηκομίσατο· ὧδε τοίνυν ἣν τὸ πολεμικὸν διεπόρθει λεηλατούμενον πολλαχῶς τρυχωμένην, καὶ χαμαὶ ῥιφεῖσαν χώραν, οὐχ ὅπως ἠνέσχετο δούρειον, ὅ δὲ Θεμιστοκλῆς ἀπεφήνατο λόγος ἵππον γενέσθαι, ἀλλ' ἐχέφρονι εὐβουλίᾳ ἀῤῥενουμένῳ φρονήματι ἐπανακραθείσῃ καιρίας προσαπαλλάττων κακώσεως. Καὶ δὴ πόνον κατ' Εὐριπίδην, εὐκλείας πατέρα ἀεὶ γεγονέναι. ἑαυτῷ συνεγνωκὼς, ἀκαμάτῳ σπουδῇ διετήρει ὅσα πατὴρ ἐγκωλπωσάμενος· τῇ δὲ παρεκροῇ του χρόνου ἐπιμηκέστερον ὁ τῶν Μόσχων ὑπερτείνων καὶ Γερμανῶν πόλεμος, καὶ τῆς κατ' αὐτῶν μελλούσης τῶν Ὀθωμανῶν ἐκστρατείας τὴν παρασκευὴν προαπαγγειλάμενος ἀλλεπαλλήλως παρὰ τοῦ βασιλικοῦ ἄστεος πρὸς αὐτὸν ἐπηνέγκατο τὰς ἐγκελεύσεις ἐς κριθὴν, σῖτον, ἄλευρον, ἑκάτια φορτηγά, γεφυροτέκτονας καὶ ἁμάξας διά τε τὸ πλῆθος, καὶ γε ὀξύῤῥοπον τῆς ἐκτελέσεως ἐπὶ δυσπραγοῦντος χρόνου ἀνωμαλίᾳ, δυσχερῶς μὲν διαπονούμενα, τῇ τῆς ἐφέσεως δὲ φερεπονίᾳ καὶ τάχει διαπεπονημένα καταρτισάμενος συνεσκεύασεν. Ἀλλὰ μὴν τοῦ θέρους ἐπανιόντος καινῆς ἐκστρατείας ῥυθμὸν συνορμοσάμενος πρὸς τοὺς ἐν Κραγιόβῃ ἐπὶ καταλύοντας ψιλοὺς τῶν Γερμανο-κατάνων στρατιώτας ἀντιπαρῆγε, δύναμιν ὁπλιτῶν ἐπιλεξάμενος, μεθ' ὧν κατὰ δυσφορίαν τινὰ παρεμπεσοῦσα, καὶ μυρίων σκυθῶν ἵππος ἁπανταχῇ ἐπὶ τοπικὴν συλαγωγίαν ἀπὸ ῥυτῆρος ἐλαύνουσα, καὶ τὸ χωρίον ἀναμὶξ ἐπορχουμένη, ἐν πορθήσει καὶ προνομίᾳ αἰχμαλωτουμένων γε ἐπιχωρίας ἁλώσει ἀκόσμως διεγαυροῦντο· οὐκοῦν ταυτηνὶ τὴν ἀκάθεκτον καὶ τῷ παμβορωτάτῳ ἔθνει οἶστρον ἐμβαλοῦσαν λαφυρομανίας ἐπὶ σκέψιν ἀποσβέσαι ζηλωσάμενος, πάντα κάλων κεκίνηκε, καὶ πρὸς τῷ τοὺς ζωγρηθέντας τῆς ἐπιγιγνομένης δουλείας ἀνταναῤῥύσασθαι ἐπιταγῆς πρὸς τοῦ μεγίστου ἀρχιστρατήγου προγράμματι πᾶσαν ἀπείργοντι σύλην τὸν σκυθικὸν τάραχον κατευνάσατο· ἄλλοι μέντοι τῶν Ὀθωμανῶν καὶ σκῦθαι ἀλλοδαπεῖς τε μιγάδες ἐν πολιχνίοις θράσος τὸ πολεμικὸν γαυριῶντες, διὰ μισθοφόρων ἐς κακῶν ἀποτροπὴν συνεστάλησαν τηνικαῦτα, χιλιαρχίας ἀφωρισθέντων οἷα φιμοῦ ταῖς

să ĭasă și să se așeḑe în propriele lor locuințĭ. Decĭ mulținele împrăștiate încurênd îmbărbătându-se [83]). se înfrunesc ĭarășĭ între dênsele și se connadună, și de și altă dată plecasă care în cotro, fie-care și-a recunoscut consătenĭ și intrând în vetrele lor fórte frumos s'a așeḑat. Iar Vodă spre a înlătura periculul de rebeliune (hainire) amenințător pentru ceĭ ce fugisă în țara dușmană, promitea împĕratuluĭ credința curată și sprijinindu-ĭ sub garanție de servire statornică și nestrămutată, și însușĭ garantând, a adus stăruind tot spre maĭ bine, scrisóre de ĭertare plină de miluire împĕrătéscă și de bună-voință pentru reîntórcerea lor în țara părintéscă. Așa țara cea destrusă și mult risipită pre care beligeranțiĭ o bosturasă prin prădăcĭune nu numaĭ n'a lăsat-o să devină dupre vorba luĭ Temistocles ca un cal duriŭ saŭ de jaf, ci prin o chibsuință înțeléptă însoțită de o pregetare bărbătósă o scapă de cumplită devastare. Și apoĭ știind în sine că, dupre ḑisa luĭ Euripid, munca tot-dé una este părinte al gloriei, cu neobosită silință supraveghĭa îmbrățășind țara ca un părinte. Dar cu trecerea timpuluĭ resbelul Moscalilor prelungindu-se maĭ în delung de cât al Nemților și de maĭ nainte vestindu-i-se preparațiunea viitórei espedițiunĭ a Otomanilor contra lor, necontenit primĭa din capitală poruncĭ pentru orḑ, grâŭ, făină, plute de catargurĭ pentru transport, construitorĭ de podurĭ și care tóte aceste din causa mulțimeĭ și încă a ĭuțimeĭ execuțieĭ, într'un timp nefericit și neliniștit cu greŭ se efectuaŭ dar cu voința laboriósă și silitóre gătindu-le tóte deplin le-a efectuat. Insă sosind vara, Vodă combinând un plan de espedițiune noue contra catanilor Nemțĭ, soldațĭ sprintenĭ, ce se așeḑase în Craĭova [84]), le opuse o putere de soldațĭ într'ales cu care întêmplându-se a lua parte la o neisbutire óre-care și călarimea Tătara de ḑece-miĭ, acésta s'a răpeḑit în fugă pretutindenea spre prădăcĭune locală și încalcând orĭ în cotro localitatea, nerușinat se fălĭaŭ de devastarea, prădarea și prinderea captivilor țaranĭ. In urmare apucându-se cu zel de a stâmpăra acéstă neînfrânată pornire la prădăcĭune, ce escită ca o strechie pre acéstă nație a tóte perḑĕtóre, Vodă a pus totul in mișcare și pe lângă scaparea din robie a captivilor a potolit turburarea Tătarilor prin

σιαγόσι περιτεθέντος, καὶ τοῦ ἰταμοῦ χαλινωθέντος τῇ εὐρυθμίᾳ· κάτα τῶν Γερμανο-κατανῶν τῆς Κραγιόβης, καὶ τῶν πέριξ ἀποδράντων, ἐπεί τινων μὲν τῶν ἐπὶ τῆς συγκλήτου αὖθις ἐπτηχότων, καὶ τῇ Ἐρδελίᾳ προσχωρησάντων, οἱ γοῦν λοιποὶ σὺν ἅπαντι τῷ ἐπιχωρίῳ πλήθει ἐς ὑλώδη ὄρη καταπεφεύγασι καὶ χηραμούς, στρατηγοῦ ἐπὶ διατηρήσει τῆς χώρας ἐκείνης καθεστηκότος, αὐτὸς κἀκεῖνον τὸν χῶρον συνδιανέμεσθαι ἐγκελευόμενος, καὶ τοὺς φυγάδας προσηνῶς ἀναθαῤῥύνων τὸν τῆς βασιλείας αὐτοῖς ἄρδην καθυπέστη ἔλεον, καὶ ἐπιείκειαν ἐπ' τῆς τῶν προγενεστέρων ἑστίας καθελκῦσαι βουλόμενος, ὥστε τῶν ὀρέων καταβάντας, καὶ τερπναῖς πεποιθότας ἐλπίσι, δεσπότην ἑαυτὸν ἤδη προελέσθαι ἐπι Κραγιόβης, τὸν δὴ ᾀδόμενον μπάνον.

αψλη. Τῇ δὲ μετὰ ταῦτα διελεύσει τοῦ χρόνου τῆς κατὰ χώραν γερμανικῆς μάχης ἐπὶ τὰ πρόσω ἔτι σφοδρότερον ἐπιτεινομένης, καὶ δὴ ἑπομένως τῇ ζάλῃ τῶν ἐπιφυέντων δεινῶν τῆς ἀρχῆς καθάπαξ ἰλιγγιώσης. τῆς ἐντεῦθεν κατὰ τὴν ἐπικράτειαν συντηρήσεως ἐνδιαθέτως ἱμειρόμενος, καὶ ἀείποτε περὶ τὰς παρεμβολὰς καὶ στρατείας ἀκάμπτως ἐμμίσθῳ στρατῷ νύκτωρ καὶ μεθ' ἡμέραν ἐνδιατρίβων, ἅμα γοῦν τῷ τῶν Γερμανῶν ἐπὶ τῆς χώρας φρουρείῳ ἄφνω τὸν στρατηγὸν αὐτοῦ καθορμήσαντα ἐμβαλεῖν, καὶ ἐπὶ Μόσχων τῆς ὀρεινῆς παρεκδρομόντων τὴν εἰσέλασιν ἀντιπαρελᾶσαι ὑπὲρ τῆς ἀπειλουμένης τῆς πολεμίας τῶν Γερμανῶν φάλαγγος ἐπισκήψεως ἀλεωράν τινα ἐν περιωπῇ καὶ ὁρμητήριον ὀχυρωσάμενος, καὶ οἷα ἀνθεστηκὼς ὑπὲρ γῆς καὶ ὑπηκόου πρὸς αὐτοὺς ἑτοίμως ἀντιπαραταχθησόμενος, διετέλει μὲν τὸ πᾶν συνέσει τε καὶ ῥυθμῷ εὐβουλίας κατακοσμῶν, οὐκ ἔλαττον δὲ ἀλκίμῳ ψυχῇ καὶ ὑπὲρ τῶν ὅλων πρὸς τούτους διαμαχόμενος.

αψλθ. Εἰρήνην μέν τοι γε τελευταῖον τό τοῦ πολέμου δυσήνυτον ἐκπεραίνουσαν, συγκεκροτηκότες οἱ ἀντιμαχεσάμενοι βασιλεῖ, χαρᾶς τὰ πάντα ὡς ἀληθῶς ἐνεπίμπλασαν καὶ εὐθυμίας, καὶ δήπου ἡ τὸ τοῦ βίου ἀνθηρὸν καταμαραίνουσα ἔρις παρεσκέδασται, διασταλεὶς κατευνάστη ὁ βρασσόμενος τάραχος, ὁ συρφετώδης ζόφος διακέκριται καὶ διηύγασται, καὶ ὁ ἐπὶ τὸ συνέφελόν τε καὶ ἄκοσμον

ordin de la comanda supremă, care cu totul le înterdicea prădarea [85]), iar alţi Turci, Tătari şi amestecătură de străini prin orăşele, sumeţindu-se de cutezanţa resboinică, fură atunci înfrânaţi şi întorşi de la rěutăţi de către lefegii, căci daţi afară din trupa militară, ca cum li s'ar fi pus căluş în gură, aşa prin disciplină li se înfrână sumeţia. După retragerea Catanilor Nemţi din Craiova şi de prin prejur, fiind-că unii dintre senatori iarăşi speriaţi aŭ trecut în Ardeal, cei-lalţi cu tótă mulţimea locuitorilor s'aŭ retras în pădurile munţilor şi în poene ascunse, de aceea se aşedă un comandant de armată pentru paza acelei ţări, iar Vodă luă poruncă să administreze şi acel loc [86]); pentru care îmbărbătând cu blândeţe pre cei fugiţi, le promisă în totul mila şi buna-voinţă a împěrăţiei, voind a-i atrage la vetrele străbunilor, în cât pogorîndu-se din munţi şi încredêndu-se în frumóse speranţe, l-aŭ şi ales de stěpânitor Craiovei, adecă, cum se dice, Ban.

(1738). După acestea, în decursul timpului, resbelul nemţesc în ţară întărindu-se din ce în ce mai vêrtos, şi prin urmare, din causa furtunei restriştelor ce supraveniaŭ, autoritatea domniei perdêndu-se cu totul, fireşte se cuprinse de dorul conservărei ei mai departe în Stat şi pururea diua şi nóptea neobosit ocupându-se de tabere şi espediţiuni cu armata cea mercenară; totodată când generalul sěŭ, plecând fără veste, atacă citadela Nemţilor din ţară, şi mersă întins şi în contra incursiunei Moscalilor ce alergaŭ în spre munţi [87]), şi Vodă din partea ameninţată a ţărei fortifică o culme înnaltă ca de refugiŭ şi de năvălire contra atacului duşman al armatei nemţeşti; şi ca unul ce trebuia a fi gata de a se lupta contra lor cu resistenţa pentru ţară şi supuşi, continuŭ combina tóte cu înţelepciune şi plan bine chipzuit dar numai puţin se bătea cu suflet curagios şi până la estreme contra lor.

(1739). In fine Impěraţii beligeranţi contractând pacea, ce pusă capět resbelului celui greŭ de terminat, pre toţi în adevěr i-a împlut de bucurie şi veselie, şi dar, cérta ce veşteja flórea vieţei se împrăsciă, tumultul cel clocotitor potolindu-se se alină, întunecimea cea pulberósă s'a desfăcut şi limpedit, şi focul cel la început fumegos şi

παρεισαχθεὶς διαυγέστατος τῆς γαλήνης καὶ εὐκοσμίας πυρσὸς, ἁπανταχῇ περιέλαμψε ταύτης ἄρα τὴν μήνυσιν, τὰ πρὸς τοὺς ἐπιόντας ἀγγέλους μήνυτρα ἐκχεόμενον, πρὸς τῷ εὐθύμως παραδέξασθαι, καὶ ἐν πολυδωρίᾳ ἀντιβραβεῦσαι πόθος ὑπόχρημα κατείληφε τῆς των δυσχερειῶν ἀνακύψεως, καὶ δὴ τῆς τρυχωθείσης χώρας τῇ παραθάλψει πάνυ ἐγκεκυφὼς, καὶ ἤδη ἀνέκαθεν ἐπὶ τοὺς κατατρυχῶντας ἐπιχωρίους ὑγρὸν καὶ ἤπιον ἀναφήνας τὸν τρόπον ἐς τὴν πολέμῳ προχερσωθεῖσαν τῆς Κραγιόβης περίμετρον, σπουδῇ ἐφίπταται ἐξικνούμενος τοὺς ἐκεῖσε ἀπαλλάξων τῶν ἀλγηδόνων, καὶ ἃ πάλαι κατορώρυκται δίκαια, ἀσφαλέστερον ἀναπτυξόμενος. Ἐνθάδε μὲν γὰρ ἐμπελάσαντι καὶ σκολιούς τινας μετιέναι βουλευσαμένῳ ἡ τοὺς ἐγχωρίους στυφελίζουσα καὶ οἰστροδίνητος μανία τῶν ἐκεῖσε ἐπὶ φθορᾷ διαγνυρουμένων, τῆς λύμης παραχωρήσασα, ὧν μὲν φυγῆς ζημίᾳ προστιμωμένων, ὧν δὲ δίκης ἀκριβείᾳ ἐπιταγαῖς καὶ λοιποῖς προστιμήμασιν ἀνασταλεντων, δρ στήριόν πως ἀνετράπη συνόλως καθαιρεθεῖσα· ταῦτα τοίνυν τῇ περὶ πολέμους συνέσει καὶ σοβαρᾷ περὶ χρόνου δεινοπραγίαν, φρονήσει τε καὶ ἐμπειρίᾳ διαπραξάμενος, οὐ μέντοι φιλοτιμίας πνεύματι φυσιουμένην, καὶ θράσει φιλοδοξίας φλεγμαίνουσαν περιειλεῖτο τὴν προαίρεσιν, ἀλλὰ ἀντεχόμενος τῆς ἀσφαλείας, τὰ μὲν τῆς δοξομανίας θέλγητρα, καίπερ οὐ νωθραῖς οὐδὲ χαμαιζήλοις φύσεσιν ἐγγίγνεσθαι πεφυκότα, καὶ ὑπὸ τοῦ ὀχλικοῦ ἐπαίνου συνεξαίροντος αὐτὰ πολλαχῇ, καὶ συνεξωθοῦντος κορυβαντιῶν τε καὶ ἀκατάσχετα ἐξελαύνων καὶ ἀποσοβούμενος, τὸν οἰκεῖον εὖ μάλα, κατὰ Πλάτωνα, ἀδιάφθορόν τε καὶ ἀκήρατον χρυσὸν τῆς ἐκ φύσεως ἐπὶ τὴν ψυχὴν διατεινούσης ἀρετῆς ἐπὶ τοῖς μεγίστοις, ἣν ἀφειδῶς καταναλίσκων, καὶ τὸ δέον προσδαπανώμενος· ὧδέ πως ἡ προαίρεσις διαφεύγουσα τὸ θορυβητικὸν τῆς φιλοτιμίας καὶ μανιῶδες, στιβαρᾷ διαθέσει, καὶ πυκνῷ τῷ φρονήματι οὐ προλέλοιπε χειμῶνος ἐπιπεσόντος σφαλλομένην καὶ κινδυνεύουσαν τὴν ἀρχὴν, ἀλλὰ τῷ γαληνιῶντι προσεπέλασεν ὅρμῳ, ὥσπερ ῥᾶστα ἄγκυραν ἱερὰν ἀραμένη τὴν ἐξ αὐτῆς παῤῥησίαν.

Οὐμὴν, ἀλλὰ περὶ τὴν δυναστείαν ταύτην οὐχ ἧττον ἢ τοῦ πολέμου τῆς πολιτικῆς προσαντεχόμενος ἀσχολίας, τὸν κατὰ τὰς προσόδους ἀναβασμὸν καὶ τάξιν ἐπ' ἐκτίσει τελῶν, καὶ φορολογίας δημοτικῆς ἀποδιασαφήσας ἐξέθετο, καθ' ἣν καὶ τὸ πρόσθεν πιεζούμενον ὑπήκοον ἀνεκουφίζετο, καὶ τὰ τῆς ἀρχῆς δημόσια τοῖς βασιλείοις ἐξήρκει τέλεσι, τὸν πόκον γὰρ ἠβούλετο, καθὰ Τιβέριος

uricïos, străluci pretutindenea ca un farŭ prea luminos de înseninare și bună ordine. Decĭ, primind Domnul bucuros anunțarea păceĭ șĭ-a revĕrsat recompensele sale către anunțătoriĭ veniți a-'l însciința și ĭ-a resplătit cu multe darurĭ, apoĭ îndată fu cuprins de dorința de a înlătura nevoile, aplicându-se fórte mult la ușurarea țăreĭ ceĭ strucinate, și dupre cum obicĭnuit se arăta móle și blând cu locuitoriĭ striviți și atuncĭ ĭute sbóră să ajungă la ținutul cel boșturat de resboĭ al Cralovei, ca pre ceĭ de acolo să-ĭ elibereze de suferințĭ, și să reintregĭască maĭ statornic drepturile ce de mult fusese cu totul surpate [38]). In adevĕr după ce ajunse acolo și se apucă de pedepsit pre niște înrĕutățițĭ, atuncĭ și furia turbată a celor ce strivĭa pre locuitorĭ și se îmbuĭba în rĕutatea lor, restrîngêndu-se de la nedreptățire, energic fu nimicită dispărênd cu totul; căcĭ uniĭ se pedepsiră cu deșțărare, ĭar alțiĭ se înfrânară cu ordine severe ale justițieĭ și cu alte amende. Decĭ aceste efectuându-le cu prudență în ce privește resbelul și cu profundă înțelepcĭune și esperiență față cu restriștele timpuluĭ, nu-'șĭ invăluĭa gândul de spiritul îmflat al ambițiuneĭ, nicĭ se înflăcăra de cutezanța glorieĭ vane, ci ținêndu-se de ce este sigur, înlătura și respingea cu stăruință și se irita contra farmeculuĭ pasionat al glorieĭ, de și natural acesta se naște nu în firĭ tîmpe orĭ înjosite, și se rĕdică și împinge de lauda mulțimeĭ în tot chipul; Constant în însă cu necruțare cheltuĭa și dupre trebuință consuma, dupre disa luĭ Platon, maĭ ales propriul, neperitorul și curatul aur al capacitățeĭ sale virtuóse, care în ómeniĭ marĭ se întinde de la natură asupra sufletuluĭ. Așa voința sa evitând întărîtarea și furia ĭubireĭ de onorurĭ, cu disposiție statornică și cu minte prudentă nu părăsĭ domnia aluńecată în pericul în fața vijelieĭ întîmp'ate, ci o adusă la portul de liniște, prea ușor plutind prin curagĭul sĕŭ propriŭ, ca cu o ancoră sacră.

Dar în acéstă domnie ocupêndu-se încă de aprópe numaĭ puțin de partea civilă de cât de resbel, și regulând deslușit repartițiunea dărelor dupre veniturĭ, ordinea de plata dărilor și a contribuțiuneĭ populare, a publicat tóte aceste, dupre care se ușuraŭ supușiĭ, maĭ 'nainte apăsațĭ, și veniturile publice ale domnieĭ satisfăceaŭ dările către im-

ἔφη περικείρεσθαι τῶν προβάτων, ἀλλ' οὐ ξυρᾶσθαι δυσμενῶς ἄχρις ἐπιδερμίδος· ὧν ἕνεκα ἔτι γε τῇ δεσποτείᾳ προσήρμοσε τάξεις ἀρχῶν ποικίλων ἀναῤῥήσεις, καὶ βαθμοὺς ἐν εὐαρμοστίᾳ, τεχνίτας τε ἐμπορικοὺς καὶ βαναύσους ἐπὶ καλλονῇ ἄστεος, καὶ ἐπιτηδείων περιουσίᾳ, ἱερὰ καταγώγια ἐπὶ θείων σπουδῇ καὶ στιβαρότητι βίου. μουσῶν ἡβητήρια, ἐπὶ κάλλει ἐγκυκλίου φιλομαθίας, καὶ ἁπαξαπλῶς ἅπασαν τῶν ἐπιτηδευμάτων τὴν ποικιλίαν ὑπερσέμνῳ βουλήματι, τότε δὴ μεταῤῥυθμηθῆναι συνέβη, τοὐντεῦθεν δὲ λαμπρότερον αὐτὸν διαμορφώσασθαι τὸ χωρίον· τοιάνδε γὰρ τηνικαῦτα ἐν τῇ περὶ τὴν πολιτείαν διανομῇ τε καὶ διοικήσει κατεδείκνυτο ἀπομαξάμενος τοῦ πολιτικοῦ ἀνδρὸς τὴν εἰκόνα, οἵαν δεῖν εἶναι καὶ ἀπαράφθορον, οὐμὴν τερατευόμενος ἐν τοῖς πολιτικοῖς παραγγέλμασι προσφυῶς ἐξωνυχίσατο Πλούταρχος· „πρῶτον μὲν ἔφη, εὐπροσήγορος καὶ κοινὸς ὢν πελάσαι καὶ προσελθεῖν „ἅπασιν, οἰκίαν τε παρέχων ἄκλειστον ὡς λιμένα „φύξιμον ἀεὶ τοῖς χρῄζουσι, καὶ τὸ κηδεμονικὸν „καὶ φιλάνθρωπον οὐ χρείαις οὐδὲ πράξεσι μόνον, „ἀλλὰ καὶ τῷ συναλγεῖν πταίουσι καὶ κατορθοῦσι „συγχαίρειν ἐπιδεικνύμενος· οὐδαμῇ δὲ λυπηρὸς, „οὐδὲ ἐνοχλῶν οἰκετῶν πλήθει περὶ λουτρὸν, ἢ „καταλήψεως τόπων ἐν θεάτροις, οὐδὲ τοῖς εἰς τρυ„φὴν καὶ πολυτέλειαν ἐπιφθόνοις παράσημος, ἀλλ' „ἴσος καὶ ὁμαλὸς ἐσθῆτι καὶ διαίτῃ, καὶ τρο„φαῖς παίδων, καὶ θεραπείᾳ γυναικὸς, οἷον ὁμο„δημεῖν καὶ συνανθρωπεῖν· ἔπειτα σύμβουλον, „εὔνουν, καὶ συνήγορον ἄμισθον, καὶ διαλλακτὴν „εὐμενῆ πρὸς γυναῖκας ἀνδρῶν, καὶ φίλων πρὸς „ἀλλήλους παρέχων ἑαυτὸν, οὐ μικρὸν ἡμέρας μέ„ρος ἐπὶ τοῦ βήματος ἢ τοῦ λογίου πολιτευόμενος, „οὔτε μὴν παρὰ τῶν ἄλλων εἶτα ἤδη πάντα τὸν „ἄλλον βίον ἕλκων ἐφ' ἑαυτὸν, ὥστε καικίας νέφη „τὰς χρείας καὶ τὰς οἰκονομίας πανταχόθεν, ἀλλὰ „δημοσιεύων ἀεὶ ταῖς φροντίσι καὶ τὴν πολιτείαν „βίον, καὶ πρᾶξιν οὐκ ἀσχολίαν ὥσπερ οἱ πολλοὶ „καὶ λειτουργίαν ἡγούμενος“. Πᾶσι τούτοις καὶ τοῖς τοιούτοις ἐπιστρέφει καὶ προσάγεται τοὺς πολλοὺς νόθα καὶ κίβδηλα τὰ τῶν ἄλλων θωπεύματα καὶ δελεάσματα πρὸς τὴν τούτου κηδεμονίαν καὶ φρόνησιν ὁρῶντας· τοσαύτην δὲ ἐμμέλειαν πολιτικοῦ φρονήματος ἐκδεικνύμενος καὶ ῥυθμὸν διοικήσεως τηλικοῦτον πρυφήνας τῇ ἐξουσίᾳ, τῆς ἀρχῆς ἂν (κοθόρνου γὰρ εὐμεταβολώτερον, καὶ πάνυ εὐανάτρεπτον τὸ τῶν ἀνθρωπίνων πραγμάτων ἐς τοὐμφανὲς ἕδρασμα) παρατέτραπται, καὶ τοῦ Μιχαὴλ εἰσφρηθέντος ἐς Μολδοβίαν προπεμπεύεται, κἀκεῖσε τὰ πρὸς ἁρμονίαν διαθησόμενος.

pĕrăţie; căcĭ voĭa, dupre ḑisa luĭ Tiberiu, a tunde numaĭ lâna de pe oĭ ĭar nu a le rade duşmăneşte până la pele [39]). Pentru care înzestră domnia încă cu ordne, oficiĭ şi grade de diferite dregătoriĭ în bună regulă, cu maeştri neguţitoriĭ şi de rınd spre înfrumuseţarea oraşuluĭ şi procurarea celor necesare; tot atuncĭ avu loc prin o voinţă superióră, să fie reformate unele locaşurĭ sânţite pentru studiul învĕţăturilor divine şi pentru coregiarea vieţeĭ; scólele tinerilor pentru ornarea cu învĕţăturile umanióre şi în genere se întroduse tot felĭul de întreprinderĭ; în cât el făcu ca ţara să ĭa o transformare maĭ frumósă [40]). Căcĭ atuncĭ prin repartiţiunea şi administrarea Statuluĭ s'a arĕtat că este în stare să represinte îmaginea unuĭ bărbat politic aşa, cum trebue a fi şi a rĕmânea neperitóre, şi pre care Plutarh în Preceptele politice, fără să alureze, nimerit a ilustrat-o, aşa: „Maĭ întâiŭ, ḑice, bărbatul politic fiind „afabil şi comun să vină în apropiere şi „relaţiune cu toţĭ, avêndu-şĭ casa neînchisă „ca un liman de refugiŭ pururea celor cu „trebuinţă, şi să-şĭ arăte î grijirea şi uma„nitatea nu numaĭ la trebuinţĭ nicĭ numaĭ în „fapte, ci şi prin compătimirea cu ceĭ ce „greşesc şi prin felicitarea celor ce reuşesc; „să nu fie încă nicĭ cum întristător, nicĭ „supărător mulţimeĭ domesticilorŭ la bae, „orĭ la ocuparea locurilor în teatre, nicĭ „destins de ceĭ pismuitorĭ pentru resfăţare „şi lux, ci egal şi simplu în îmbrăcăminte „şi traiŭ, în creşterea copiilor şi în tratarea „femeeĭ, de o po rivă ca şi concetăţeniĭ sĕĭ „şi ceĭ-lalţĭ ómenĭ: Al doilea, să devină sfătui„tor, bine-voitor şi advocat neplătit, oferindu-se „pre sine favorabil împăcĭuitor bărbaţilor cu „femeile şi amicilor între dênşiĭ; să şi petrécă „nu mică parte din ḑi la tribună, orĭ la scena „tétruluĭ; şi după aceea să nu tragă de la „alţiĭ la sine tot cela-lalt traiŭ, necesităţile „şi economia caseĭ de pretutindenea, ca vên„tul nord-ostic nouriĭ, ci tot-déuna ocupându„se cu afacerile publice să socótă Guvernul „societăţeĭ ca viaţă şi acţiune a sa, ĭar nu „ca ocupaţiune şi funcţiune publică, ca ceĭ „mulţĭ“. Prin tóte acestea şi cele de aceste întórce şi provócă pre ceĭ maĭ mulţĭ să vaḑă momelele şi ademenelele celor-lalţĭ ca falşe şi prefăcute, în comparare cu îngrijirea şi înţelepcĭunea acestuĭa. Arătând decĭ el atâta abilitate de prudenţă politică şi înzestrând

αψμϐ. Ἅμα δὲ τῷ τῆς ἐξουσίας περιδραξάμενον τῆς Μολδαβικῆς μεταποιήσασθαι διοικήσεως, χώραν τινὰ ἀναφανδὸν ἐπὶ τῆς ἐπικρατείας ἀφηνιάζουσαν, καὶ τῷ κρατοῦντι μηδέπω πειθαρχοῦσαν τὸ Κιμπουλούγγιον δῆθεν τὸ Ῥωσσικὸν ἀνιαρῶς καθορῶσα, καὶ ἐπὶ τὴν ταύτης ἀναστολὴν παρακύψασα ἡ ἐμφιλόχωρος ὀξυδέρκεια, καὶ τὸ τῆς ἀναρχίας διασκίρτημα ἀποτρεπομένη, στρατιώτας τοὺς ἀπὸ τῆς δορυφορίας μετὰ οἰκείου ποδηγέτου καὶ ἄλλων τινων ἀποσταλῆναι διακελεύσασα οὕτω πως, τοῦ τῇδε ἀποσκιρτήσαντος δήμου τὴν τόλμαν συντέθραυκε, βασιλείῳ καθυποβαλοῦσα φορολογήματι· περὶ ὧν δὲ τῶν τινες Λεχῶν ὑπὲρ τὰ ἐσκαμμένα πηδῶντες, καὶ τέρατα ὑπερκύψαντες κατεπάτουν, μεθορίων τῆς Μολδαβίας διατεινάμενος ἀντισχυρίζετο, καὶ τῶν διαιτητῶν ἤδη ἀμφοτέρωθεν ἐπὶ τὸ εὐεπηρέαστον τῇ ὑποψίᾳ συνόμορον προσελθόντων, ἀστεμφῶς τὴν ὕβριν ἀποσοβούμενος τά γε τῆς ἡγεμονίας παραθαλψάμενος προνόμια ἐπὶ τοὺς ἐν τῇ χώρᾳ ἄρει ἐξοιστρουμένους, καὶ θράσει σφριγῶντας κατὰ τῶν ἐπιχωρίων Ὀθωμανούς, τὸ συντονώτερον μετετίθετο τῆς σπουδῆς· τούτους μὲν γὰρ τῷ τῆς ἐμπορίας προσχήματι τοῖς πένησι καὶ ἀγροίκοις τῶν ὑπηκόων στιβαροὺς χρημάτων ἐπεισάξαντας τόκους, καὶ τὰ πλεῖστα καὶ πολλαχόθι ἐπὶ πάντας ῥᾳδιουργήσαντας, καὶ τὸν ἐνόντα τρόπον ἀδικήμασι προς διαιτησαμένους, τῷ ἀπὸ τοῦ βασιλικοῦ ἄστεος ἐπιτάγματι, καὶ τῇ τοῦ προσδιορισθέντος ἀνδρὸς τὰς κακουργίας τῶν δυστροπούντων ἀνιχνευσομένου εἰς κομιδῇ, πανταχῇ μὲν τῆς νεμομένης γῆς τῷ ἐς τουτοῒ προαιρεθέντι ὁδηγῷ τῆς ἀκριβοῦς ἐπενεχθείσης ἐρεύνης, πάσης μὲν τῆς ἐπικρατείας ἅμα τῇ τῶν ἐμπορικῶν ἀγορῶν ἀναιρέσει καὶ πανηγύρεων ἀπεληλάσθαι, τά γε αὐτῶν καταγώγια ὅλως ἀναιρεθῆναι ἐμφρόνως διαβεβούλευται· κἀνταῦθα οὖν πάλιν τῇ προτέρᾳ στάθμῃ τῆς φιλομούσου γνώμης τὴν τῆς νεολέας φιλόσοφον ἐκμετρούμενος παίδευσιν, σχολὰς μαθημάτων ἐπὶ τῆς ἀρχούσης καθέδρας, καὶ ἁπανταχῇ τοῦ χώρου διεκελεύσατο προσπαγῆναι μισθαποδοσίαν τοῖς τουτὶ ἐπιδεξαμένοις τὸ τῶν κοινῶν προσόδων ἐπὶ τούτοις ἀφορολόγητον ἀφθόνως προσδωρησάμενος.

Τὴν δὲ ἐν τῷ διαιτήματι τῆς πολιτικῆς ἔριδος (νεῖκος γὰρ ἢ ἐν τῇ φύσει, οὕτω καὶ ἐν τῷ βίῳ

puterea cu o administrație așa de armoniósă, iarășĭ fu resturnat din domnie (căcĭ fundamentul lucrurilor omeneștĭ evident este fórte lesne de resturnat, și maĭ schimbător de cât conturnul tragic [41]), iar în locu-ĭ intrând Mihail, el este cu pompă transferat în Moldova, ca să disposeze și acolo cele cuvenite.

(1742). Indată ce Constantin a apucat puterea a și reformat administrația Moldovenéscă, dar cu supărare privind la un ținut ce se revoltasă fățiș contra stĕpânireĭ și nu se supunea nicĭ cum Domnuluĭ, anume Câmpu-lung Rusesc [42], s'a aplecat cu naturala sa agerime la potolirea luĭ, și pentru a înlătura sburdăcĭunea anarhieĭ, poruncĭ de se trimese soldațĭ din gendarmărie cu căpitanul lor și cu alțiĭ óre-care, și așa se frânsă îndrăsnéla poporuluĭ revoltat, supuindu-'l la contribuția împĕrătéscă. Fiind-că uniĭ din Leșĭ, sărind preste șanțurile de hotar, încălcaŭ țara trecênd preste marginĭ, Vodă stăruĭ puternic pentru confiniele Moldoveĭ, și după ce se întruniră arbitriĭ de ambele părțĭ la punctul atacat de contestare, cu tărie respingênd atacul, revandică prerogativele Principatuluĭ. Apoĭ își încordă tótă atențiunea asupra Turcilor din țară, cariĭ întețițĭ de resboiŭ, cu sumeție se întărîtaŭ contra locuitorilor. În adevĕr aceĭa, sub pretext de negoț, impunênd locuitorilor sĕracĭ și de la țară grele procente de banĭ, și cele maĭ de multe orĭ și în multe locurĭ pre toțĭ nedreptățindu-ĭ și în tot chipul cu strimbătățĭ trăind, Vodă s'a cugetat înțelĕpțeste: căcĭ cu ordinul din capitala Impĕrățieĭ și prin un bărbat însărcinat spre urmărirea tuturor rĕutăților celor îndărătnicĭ, făcêndu-se exactă cercetare în tótă țara și raportându-se comisaruluĭ ales pentru acésta, fură alungațĭ din tot Principatul desființându-li-se tot o-dată și piețele neguțitoreștĭ și bâlcĭurile ba chĭar li se dărîmară cu totul și locuințele lor [43]). Apoĭ în acéstă împregĭurare, cumpănind ĭarășĭ în mintea sa cea studiósă cu mĕsura de maĭ nainte educațiunea filosofică a tinerimeĭ, a poruncit a se funda scolĭ de învĕțăturĭ în capitală și în tótă țara, cu abondență dăruind încă ca resplată celor ce primiră acésta a fi scutițĭ de contribuțiunea veniturilor comune în acéstă privire [44]).

Iar în regimul certelor civile (căcĭ precum în natură dupre ḑisa luĭ Empedoclu,

κατὰ Ἐμπεδοκλῆ φάναι τὸ πᾶν συνίστησι καὶ φιλί ) ἀκραιφνεστάτην δικαιοσύνην τὸν τηλαυγέστατον δῆθεν τῆς ἐξουσίας ἄνθρακα καὶ ἑδραῖον θεμέλιον ἀντὶ πάντων προελόμενος, δίκη μὲν εὐπάρεδρον προὔθετο, καὶ ἀῤῥαγέστατον κανόνα, τὸ εὐθὲς καὶ ἀδέκαστον, τούτου δ' ἐχομένως τοῖς ἁπανταχῇ χώρας ἐξουσίας μετειληφόσι, καὶ ὁσημέραι δικάζουσι τοὺς ὅρους τῆς δικαστικῆς ἀκριβολογίας τῇ τῶν πραγμάτων παμποικιλίᾳ προσηρμοσμένους, καὶ τὸ τοῦ δικαίου ἐν πᾶσιν ὀρθὸν καὶ ἀπερίτρεπτον, ἐπὶ λεπτοῦ προκεκηρυγμένου ἀμφικτιωνικὸν ἤδη ἀπείργασται Θέμιδος καταγώγιον, τὸ τῇδε κοινὸν δικαστήριον καὶ Ἀδραστείας, ἢ νεμέσεως ἐνδιαίτημα, ὡς τοῦ λοιποῦ ἡ μὲν δίκη μηδόλως καπηλεύηται, τοῖς δὲ δούλοις οὐ κατὰ Δημάδην ἡ ἀνάγκη νόμος, ἀλλὰ τούτοις γε ἴσα καὶ ἐλευθέροις ὁ νόμος ἀνάγκη γίγνοιτο· ἔνθεν τοι μὲν ἐν δικαστηρίῳ γενόμενος, πλείστων ἦν ὅτε τῶν ὑπευθύνων ἐλέους ἐνδεομένων, καὶ πρὸς αὐτοῦ τῆς σῆς ὁτιοῦν ἀπηρτήμεθα προσκελεύσεως ἀπορρηναμένων, εἰς τὸ ἀνθέλκαστον ἀφορῶν τῆς δικαιοσύνης, οὐ προσδεῖται ἔφη, ὦ ἄνδρες, ἐλέους ἡ Θέμις, οὔτε μὴν ἐγκελεύσεσι πεπεράτωται, καὶ γὰρ ἐχρῆν τὸ δίκαιον ἀείπερ καὶ ἑκασταχῇ τετηρῆσθαι ἀμίαντον καὶ εἰδέποτε δέοι ἐπὶ τῇ ἀσθενούσῃ φύσει τῷ οἴκτῳ πρὸς τοὺς κάμνοντας ἐπανακραθῆναι, οὐμὴν οὐδὲν οἶμαι δεῖν τῆς καθεστηκυίας, ἢ προσανέσχετο τοῦ εὐθέος ἐκτραπέσθαι κρηπῖδος, ἀλλὰ στερεμνὸν ἐγκαρτερεῖν καὶ ἀκίβδηλον· ἐς τοῦτο μὲν γὰρ ὑπὲρ τοῦ μὴ ἀθέσμως ἀλλήλοις καταψηφίζεσθαι, καὶ ἐρήμην ἁλῶναι ὑπέρ γε τοῦ τὸ πρὸς ἑκάστου ἐπινέμεσθαι ἄνωθεν τὸ Θεῖον ἐπ' ἀνθρώπους καθεῖναι τὴν δίκην· κατάλληλον μέντοι εἱρμὸν καθεστηκέναι τῶν ἀρετῶν, ἃς καὶ κοσμίως περιπλακείσας πρὸς ἐπεξεργασίαν νοός, ἀλλήλαις ἐγκαταμίγνυσθαι, ἀλλὰ τὴν δικαιοπραγίαν ἐπὶ τοῖς ἔργοις τοῦ δικάζοντος, ἁρμοστοῦ στάθμην μὲν εὐθεῖαν καθεστάσθαι ὥσπερ σπάρταν, τὸ δὴ λεγόμενον, ποτὶ τὰν λίθον, τὸν δὲ ἔλεον καλλίστην παραφυάδα, καὶ κρᾶμα τι μειλίχιον παραπεφυκέναι καὶ συγκεκρᾶσθαι· οὕτως ὀφείλε πολιτικὸς ἀνὴρ ἀποκρίνεσθαι πρὸς τὸ ἀρχόμενον τὸν κυβερνῶντα ἐν ἑαυτῷ νοῦν ἔχων, καὶ τὸν ἐγκελευόμενον λόγον. Περὶ μὲν οὖν τὴν ἀρχὴν ταύτην πλεῖσται ἐπικουρίαι ὑπὸ τῆς εἰς αἴτησιν ἐπισπερχούσης τῶν ὀφλημάτων βίας, καὶ ἐπὶ τοὺς πατριαρχικοὺς δεδαπάνηνται. αὖθις δὲ τῆς ἀναιδοῦς σκολιότητος τῶν τῷ οἰκτρῷ καὶ πενομένῳ τῶν πτωχῶν δήμῳ νεωστὶ ἐν πολυχνίῳ τινι ἐπιθεῖντο ἐμπόρων Ὀθωμανῶν ἀναδραμούσης, τῇ συνήθει δραστηριότητι τοῦ κρατοῦντος τὸ δεινὸν αὖ τῆς τρυχώσεως ἀπεσκορακίσθαι· τοιγάρ τοι γοῦν τὴν Μολδαβικὴν δυοῖν ἐτῶν τοιόνδε τρόπον διῳκημένην ὑπὸ τοῦ

așa și în viață, cérta și amiciția constitue totul [45]), preferând maĭ mult de tóte dreptatea cea maĭ curată, ca una ce este cărbunele cel maĭ luminos și basa cea maĭ statornică a potereĭ, și-a propus de regulă neînfrântă și constantă în judecățĭ: dreptatea și imparțialitatea. In urmarea acesteea tribunalul comun de aicĭ și reședența Adrastieĭ orĭ Nemeseĭ (a justițieĭ ,neevitabile și a sentimentuluĭ moral ce resbună nedreptatea), ca un locaș acum de apel al justițieĭ, fu însarcinat de prelucră pentru dregătoriĭ autorităţeĭ din tótă țara și judecătoriĭ, de tótă ḑiua, definițiunile casurilor speciale judecătorestĭ aplicate la tot felĭul de afacerĭ, și dreptatea și nestrimbarea justițieĭ în tóte desluşită până în fir*; că de aicĭ înainte dreptatea la judecată să nu se maĭ vîndă, ĭar servilor nu sila să le fie lege, dupre ḑisa luĭ Demade, ci aseminea celor liberĭ și lor legea să le fie silă [46]). In urmare, fiind odată în tribunal și mulțĭ dintre ceĭ acusațĭ, avênd nevoe de milă, se adresară către dênsul ḑicênd: „Atârnăm de la porunca ta, orĭcare a fi ea; Vodă privind la indepedența dreptățeĭ ḑisă: „O bărbațĭ, justiția n'are nevoe de milă, nicĭ se sevêrșește prin poruncĭ; căcĭ se cade ca dreptatea pururea „și pretutindenea să se păzască neatinsă, și „dacă ar trebui vre-o-dată pentru slăbiciunea fireĭ a fi amestecată cu îndurarea către „ceĭ pătimașĭ, totușĭ socot că nicĭ cum nu „se cuvine a fi resturnată de pe temelia cea „stabilă a dreptuluĭ, pe care stă, ci a stărui „într'ênsa tare și fără prefacere. Căcĭ în acest scop pentru ca ómeniĭ să nu se con„demne între sine fără lege și să fie pedep„sițĭ ca în pustie, și pentru ca să se împar„tă, ce se cuvine fie-cuĭ, divinitatea trimise „de sus dreptatea către ómenĭ. Prin acésta însă „se institui un șir convenabil de virtuțĭ, care „armonic împletite spre perfecționarea min„țeĭ se amestecă între dênsele, dar dreptatea se

*) Daca în loc de προχνεχθεμένου se va ceti προχνεχθέμενος, sensul acestuĭ periol ar fi așa: — Iar urmator acesteea, facênd public cunoscut în amérunțime dregatorilor din tóta țara, și judecetorilor în permanența, definițiunele casurilor speciale judecatorești acomodate la marea variațiune a afacerilor, și dreptatea și nepervertirea justiției în tóte, constitui în fine localu apelativ al justițieĭ, tribunalul comun de aicĭ ca locuința a Adrastieĭ orĭ Nemeseĭ (a justițieĭ prevéḑetóre și resbunatóre).

ὁμωνύμονος Ἰωάννου, ἀπονοσφιζόμενος τελευτῶν παρελλάξατο, καὶ τὴν ἀρχὴν ἀπειπὼν τῷ ἀνακτορείῳ προσεχώρησεν ἄστει, καί γε μετ' οὐ πολὺ ἐπὶ τὴν τῇ τῶν Βλάχων προσδιοίκησιν τέταρτον ἀνακεκήρυκται.

„stabileşte în lucrările judecătoruluĭ, ca o „cumpănă drêptă de arbitru şi cum se ḑice „ca o sfóră la zidire, ĭar mila rĕsare alătu„rea ca o lăstare prea frumósă, şi se con„amestecă ca o mixtură dulcie.“ Aşa se cădea a se esprima către supuşĭ un bărbat politic ce are în sine minte guvernătóre şi raţiune ordonătóre. În acésta domnie prea multe ajutoîurĭ s'aŭ cheltuit din causa asupririĭ creditorilor grabnicĭ la cererĭ, şi către Patriarhĭ [47]). Apoĭ ĭarăşĭ ivindu-se neruşinata strîmbătate a unor neguţitorĭ Turcĭ, cariĭ într'un orăşel din noŭ asuprĭa populaţia cea miseră şi lipsită a sĕracilor, prin naturala energie a Domnitoruluĭ asprimea strivireĭ fu ĭarăşĭ înlăturată. Decĭ, pe când Moldova era în acest chip administrată acum de doĭ anĭ, îndepărtat de frate-sĕŭ, Ioan. în fine fu schimbat, şi lăsându-se de domnie plecă la cetatea împĕrătéscă, dar nu după mult timp fu denumit a patra óră la administrarea ţăreĭ Valahilor.

αψμδ. Αὐτίκα μὲν οὖν τῷ κατὰ τὴνδε τὴν ἀρχὴν θώκῳ ἐφιζάνοντος ἐπὶ τῷ μὴ εὐθυμῶς ἀδικεῖσθαι τὸν πάλαι τετριμμένον λεὼν ἐς δικαιοσύνης ὡς ἀληθῶς συνοικείωσιν, κατεσφραγισμένη δέλτος τὴν τῆς ἀδικίας λώβην ἀπείργουσα διὰ ῥαστώνην τοῦ ἀρχομένου πρὸς ἅπαντας διακεχάρακται· καὶ χαλεπὴν μέντοι γε ἐπὶ τούτοις δουλείαν δεδουλωμένων πλείστων τῶν ἐπιχωρίων καὶ τὴν ἀνέκαθεν τῆς φύσεως ἐλευθερίαν ἀφῃρημένων, κἀν τούτῳ τῆς θέμιδος ἀντιποιουμένου, καὶ λύτρα προθέντος ἡ πολυδάπανος γέγονε τῆς τοῦ γένους αὐθαιρέτου αἰχμαλωσίας ἀνάῤῥυσις· Τηνικαῦτα δὲ πάλιν τοὺς ἀφηνιάζοντας τῶν Ὀθωμανῶν τὸ πεπυκασμένον καὶ δυσπόρθητον πάντως κακὸν, καὶ ἐπὶ τῆς αὐτῷ πρυτανευομένης γῆς καταλύματα ἐπιπήξαντας, πῇ μὲν βασιλείοις ἐντάλμασιν, πῇ δὲ ἐξουσιαζόντων σθένει, καὶ συνεκδρομῇ, καὶ θεραπόντων ἀγῶσι. καὶ μὴν δαπάναις ἀδιαλείπτοις ἐν τουτωὶ ἀτεράμνον τὸ ἦθος ἐπὶ δικαίῳ εἰσοικισμῷ διάμπαξ ἀπεώσατο, τὸν σκαιὸν ὅμιλον πανοικὶ ἀνάστατον ποιησάμενος.

(1744). Decĭ, îndată ce se aşeḑă pe tron în acéstă domnie, pentru ca să nu se nedreptăţéscă nicĭ cum poporul, ce se deprinsese de mult a fi familiar într'adevĕr cu dreptatea, a scris către toţĭ carte cu sigiliu domnesc, prin care pentru resuflul supuşilor se oprĭa orĭ-ce vătămare nedréptă. Apoĭ fiind-că cea maĭ mare parte din ţăranĭ robĭau în grea robie şi eraŭ lipsiţĭ de libertatea naturală de la început, Vodă şi în acéstă privire reclamând dreptatea, pusă preţurĭ de rescumpĕrare, şi se făcu mult costisitórea eliberare a némuluĭ din robia cea arbitrară. Atuncĭ, nişte Turcĭ nesubordinaţĭ legilor,— care este reul cel cumplit şi în adevĕr greŭ de stîrpit,—în ţara cârmuită de el fundându-şĭ locuinţĭ, une orĭ cu poruncĭ împĕrăteştĭ, alte-dăţĭ cu învoirea şi concursul celor de la putere şi cu silinţele servitorilor şi încă cu multe cheltuelĭ stătéŭ neclintiţĭ în acésta, sub pretext de dréptă stabilire în ţară, deodată Vodă îĭ respinse, silind mulţimea cea îndărătnică a se strămuta cu totul.

αψμη, Ἐκ τούτου μὲν ἄρα ἐς τὴν Μολδαβικὴν μετενεγκάμενος τὴν σατραπείαν, Γρηγορίου Γκίκα τέως ἐπὶ τὸν τῆς Βλαχίας δίφρον εἰσφοιτῶντος, παραχρῆμα τοῖς περὶ τὴν διοίκησιν εὐσθενῶς ἐπεχείρησε, καὶ δὴ τῇ ἐμβριθείᾳ τοῦ διοικήματος, ἣ ἤδη ἐπὶ δεινοῖς νοσηλευομένη, καὶ ὑπερορἀσει ἐν τῷ πρὸ τοῦ χρόνῳ χερσεύουσα ἐπικράτεια, ἀτρέμα

(1748 an.). Dar de aicĭ transferat în satrapia (domnia) Moldoveĭ, de óre-ce acum Grigorie Ghica întrase în scaunul Valahieĭ, de îndată vêrtos se apucă de ale administraţieĭ, şi decĭ, prin o seriósă guvernare, domnia ce acum era infirmă de rele şi se pustiise de negligenţa de maĭ 'nainte, sub

καθ' αὐτὸν ὑπολωφήσαντος τοῦ κακοῦ, αὖθις ἐς εὐεξίαν ἀνέσφηλεν· ἐμπόριας μὲν γὰρ Ἀγαρηνῶν (Λαζοὺς κατὰ γλῶσσαν εἴποι τις ἄν) ἐν πολυχνίοις καὶ κώμαις τῆς τῶν Μολδάβων πάλαι πως ἱδρυσαμένων τὰ κατοικήματα, καὶ παρ' ὅλον τὸν ῥοῦν τοῦ ἐπιτρέχοντος χρόνου τὰ ἑαυτῶν κτήματα τῷ κατὰ τὴν ἐμπορίαν κερδαλέῳ λιπαρῶς ἐπαυξησάντων πλεονεξίᾳ τε ἅμα καὶ ἁρπαγῇ (δυσκόρεστον γὰρ πάθος ὁ γλίσχρος καὶ δυσέκλυπτος τῆς χρυσομανίας ἔρως) ἐπὶ τόκοις χρημάτων, καὶ ἀγορᾶς διαθέσει συνεπετίθεντο τοῖς τετρυχωμένοις τῶν ὑπηκόων, καὶ ἡ ὄρθησίς τις ἀσίδηρος ἀνὰ τὴν Μολδαβικὴν προσεχώρει συλαγωγοῦσα τοὺς πένητας, καὶ δὴ φιλοπλουτίαν ἐμπορικὴν κορεννῦσα, καὶ τὸ ἐπίπαν εἰς ἔνδειαν τελευτῶσα καὶ ἀπορίαν. Κῆρα γοῦν τηλικαύτην καὶ ῥυθμὸν ἐμπεδόφρονος βουλῆς συγχέαντα πόρον παντὶ σθένει ἀποσκεδάσαι οἱ περὶ τὸν ἡγεμόνα προελόμενοι τοῦ πρόσθεν κλεινοῦ ὑπάτου τῆς βασιλείας καὶ περὶ τὸν Ἴστρον τηνικαῦτα ἐνδιατρίβοντος ἀρωγῇ τε ἐχρήσαντο καὶ συνδιαπράξει, καὶ δέλτους ἐπὶ τῇ χρείᾳ ἀπὸ τῆς βασιλίδος πόλεως ἐνταλτικὰς παρακομισάμενοι, χιλιάρχου τε πρός γε μετὰ στρατοῦ πρὸς τοῦ συνηγοροῦντος ὑπάτου ἐπιπεμφθέντος τῷ ἔργῳ, καὶ δίκας ἐν τοσῷδε ἠδικηκόσιν ἐπὶ τοῖς παρῳχημένοις ἀδικήμασι λαχόντων τῶν ἐνοίκων τῆς χώρας, οὕτω μὲν τοὺς τῇ ἐμπορικῇ πολυμηχανίᾳ καὶ ὕβρει ἐγγενομένους, καὶ πλείστου χρόνου τρυχώσαντας τὸ ὑπήκοον μετ' εὐδείας καταστειλάμενοι ἀνεχαίτιζον· ὧδε τοίνυν ἐξεληλαμένων τῶν ἐπὶ προσχήματι συνεμπορίας αὐτόθι ἐνδιαιτωμένων βιομηχάνων δυσμενῶν ἀπηλλάγη τὸ ἐνταῦθα ὑπήκοον τῆς πρὸ πολλοῦ ὑφερπούσης, καὶ ἤδη ὡς οἷόν τε προσχωρησάσης λῃστείας, καὶ δὴ ἐπ' ἀμεινόνων οἰωνῶν τῇ τοῦ διέποντος συνέσει τὸ διεπόμενον ἐπαύσατο τῆς ἀδικίας οἰκτρὸν γενόμενον παρανάλωμα.

Οὐμὴν, ἀλλὰ καὶ παρὰ ταῦτα τῶν μουσῶν κηδομένου τοῦ ἁρμοστοῦ κάλλος τῇ τῆς ἐγκυκλίου παιδείας ἀσκήσει παρεμβέβληται, καὶ γὰρ ἐγγυμνάσμασι καὶ μελέταις ὁ τῆς φιλομαθείας διεκοσμεῖτο ἀγών, τὰ μὲν δαψιλαῖς ἐπικουρίαις, καὶ καθελκούσαις εἰς διδασκάλων τιμαῖς προκαλουμένων καθηγητῶν, τὰ δὲ ἐφήβων καὶ ὁμιλητῶν δωρεαῖς καὶ παραινέσεσι πρὸς λυσιτελῆ κατεθηγομένων ἐπίδοσιν, ὥστε τῶν ἐκεῖσε τρίποδι μουσῶν ἐγκαθιζομένων, Ἑλλάδος ἐν Γετικῇ εἰκόνα τινὰ παρεμφαίνεσθαι, καὶ ἀττικῆς δεινότητος ἀμυδρόν τι ἐκτύπωμα καὶ αὐτοσχέδιον. Οὐκ ἔλαττον μέντοι τῆς πολιτικῆς σεμνότητος, ἐπιπολαζούσης τῆς περὶ τὸ θεῖον σπουδῆς ὀκλάζουσαν τηνικαῦτα ἔντισι

dênsul încet scădênd rĕul, iarăşi reveni în vigóre. In adevĕr, nişte neguţitorĭ Agarinenĭ (cariĭ s'ar putea numi pe limba lor Lazĭ), de mult acum aşedêndu-şĭ locuinţele în oraşele şi satele Moldovenilor, şi în tot cursul timpuluĭ trecut mult crescêndu-şĭ averele lor cu câştigul din negoţ, ba încă cu lăcomia şi răpirea (căcĭ dragostea auruluĭ cea lipicĭósă şi grea de respins este o patimă grea de săturat), asupriaŭ pre locuitoriĭ scăpătaţĭ cu procente de banĭ şi cu instalărĭ de tîrgurĭ; aşa că prin ţara Moldoveĭ se respândisă o prădăcĭune neînarmată ce jăfuia pre ceĭ sĕracĭ, iar acésta spre a sătura iubirea de avuţie negustoréscă, care la urma urmeĭ se sfârşia prin lipsă şi sĕrăcie [48]). Decĭ Domnitorul cu aĭ sĕĭ propunêndu-şĭ a stêrpi cu orĭ-ce preţ o ast-fel de rană şi obiceĭŭ, ce rĕpunea orĭ-ce plan de sfat cu minte, aŭ recurs la ajutorul şi conlucrarea vestituluĭ Vizir de maĭ 'nainte al Impĕrăţieĭ, carele atuncĭ petrecea la Dunărea, şi şi-aŭ adus din capitală cărţĭ poruncitóre în acéstă afacere; pe lângă acésta fu trimis de Vizirul ce-'l conajuta şi un Paşă cu armata spre acest lucru, iar locuitorilor ţăreĭ atuncĭ li se permise a trage în judecăţĭ, pentru nedreptăţile trecute, pre ceĭ ce atâta îĭ nedreptăţise. Şi aşa cu falǎ înfrânându-ĭ opriră în loc pre ceĭ dedaţĭ la viclenie şi obrăsnicie neguţitorésca şi cariĭ de fórte mult timp striviaŭ pre locuitorĭ. Decĭ aşa fiind alungaţĭ industriaşiĭ inimicĭ ce trăiaŭ aicĭ sub pretext de împreună neguţitorie, scăpară supuşiĭ ţăreĭ de tâlhăria de mult furişată şi acum respândită cât se putu maĭ mult; în urmare prin prudenţa Guvernatoruluĭ, sub augurĭ maĭ bunĭ, ţara încetă de a fi vectimă miserabilă acesteĭ nedreptăţĭ.

Dar cu tóte acestea, guvernatorul îngrijindu-se de ale învĕţătureĭ, făcu a se introduce o ordine frumósă în cultivarea învĕţătureĭ umaniore, căcĭ stadiul instrucţiuneĭ se ornă cu exerciţiĭ şi studiĭ. Pe deoparte profesoriĭ fură provocaţĭ prin ajutorurĭ abondente şi onorurĭ ce-ĭ atrăgeaŭ la şcóle, iar pe de altă tineriĭ şi discipuliĭ cu darurĭ şi sfătuirĭ ce-ĭ înteţiaŭ la un progres util, în cât musele instalându-se pe altarul de acolo făceŭ să apară în Geţia imagina Grecieĭ şi o mică asemănare şi improvisare a iscusinţeĭ atice. Nu maĭ puţin de cât buna ordine politică, fiind negligeat şi studiul despre

τῶν ἱερῶν ὁμηγύρεων καθορῶν τὴν ἄλλως καθεστῶσαν καὶ ἀμόλυντον τῆς ἐκκλησιαστικῆς παιδείας ἀκραίφνειάν τε καὶ στεῤῥότητα θείου ζήλου πυρσῷ καταπίμπραται, καὶ πρὸς τῆς νοσηρᾶς ταύτης κηλῖδος αὐτίκα τῇ ἀποσμήξει γενόμενος, τὰ θεῖα τοῖς θείοις πατράσι παρακατέθετο, ἱερὸν συγκροτησόμενος ἄθροισμα, καὶ αὐθεκάστως ἅπαντα κατὰ τοὺς πάλαι κανόνας ἀνακριθῆναι ἐγκελευσάμενος· συῤῥέοντος τοίνυν πανταχόθεν τοῦ θεοφόρου τῶν μυσταγωγῶν καταλόγου, καὶ ἡγεμονικῷ κελεύσματι ἐν τῷ νεῷ ὡς εἰκὸς ἐπὶ προϊσταμένων ἱεραρχῶν γενομένης τῆς συνελεύσεως, τημελῶς καὶ ὡς οἷόν τέ ἄριστα ἐξηκρίβωται τὰ ἀμφισβητούμενα καὶ ὁμόφωνα τοῖς τῶν παρελθόντων οἰκουμενικῶν συγκροτημάτων χρησμωδήμασι, θεσπίσματα γέγονε, τοῖς θεοπνεύστοις πυξίοις συνᾴδοντα τῶν γραφῶν, καὶ λιγυφθόγγοις συνηχοῦντα δόγμασι τῶν συνόδων, ὥστε τὰς τοῦ τρόπου ἐπ᾽ ἠθῶν καταγρήσει ἀναφανδὸν σφριγώσας διαφθορὰς ἀνασταλῆναι τῶν πλημμελούντων, καὶ μὴν πρὸς τὸ τοῦ βίου ἀσόλοικον μετατυπούμενον τὸν πάλαι διακαῆ καὶ οὐρανοῦ ἐφάμιλλον ζῆλον, αὖθις ἀναφανῆναι καὶ περικλεῶς ἀποστράψαι. Οὕτως οὖν θεῖός τις ἀεὶ ἐπὶ τῶν κρατούντων χαρακτὴρ καὶ ἀσύλητος, πρός γε πολεμίοις ἀπόρθητον ἔρυμα, καὶ δυσπρόσοδον ἡ περὶ τὸ θεῖον εὐλάβεια, καὶ τὴν τῆς εὐσεβείας περιπόρφυρον τήβεννον περικείμενον κράτος τῆς σκολιᾶς ἀντιδιέσταλται τυραννίδος, καὶ ὥς περ ἀπομαχθεῖσα εἰκὼν τῷ ἀρχετύπῳ παρείκασται τῆς θεί ς ἀρχῆς.

Τοιῷ δε γοῦν μέχρι δεῦρο περιπετειῶν ὡς εἴωθε τὰ ἀνθρώπινα ἀλλήλαις συμπαρυφαινομένων δεσμῷ, καὶ ποικίλῃ τῆς ἐξουσίας μεταῤῥυθμίσει τε καὶ διαπερατιώσει τῇ δε κἀκεῖσε διαφερομένου τοῦ ἡγεμόνος τὸ δεινὸν ἐξαπίνης παρεισελήλυθε τῆς δυσπραγίας, καὶ λυγροτέρα πτῶσις αὐτῷ περιέστηκε τῶν παρελθουσῶν, καὶ γὰρ τῆς μέχρι νῦν διακοσμηθείσης ἡγεμονίας, ἀθρόον μὲν δόλῳ τῶν ἀντιπαραταξαμένων ἀποσπώμενος δι᾽ ὀλίγων ἡμερῶν ἔφθη ἑαυτὸν συσκευάσας, καὶ τὰ ἐφόδια ἀρτυσάμενος· καὶ ἤδη ἐπὶ τὴν βασιλεύουσαν σὺν τοῖς περὶ αὐτὸν πρόσεισι τῷ βασιλείῳ καθυπείκων προστάγματι.

αψμθ. Ὁπηνίκα δ᾽ οὖν τῷ τῶν ἀμπλακημάτων πλήθει τῶν ἡμετέρων ἐκνεμεσῶντος τοῦ θείου τῆς δακικῆς ταύτης ἐκπεπτωκότες ἀρχῆς ἐς Βύζαντος κατενηνέγμεθα, πολλοῖς δὲ τηνικαῦτα δεινοῖς καὶ κακῶν ἰλιάδι περιπεσόντες, ναὶ μὴν τὸν ἀβίωτον καὶ περ ἄκοντες προελόμενοι βίον, ὀλοφυρμοῖς γε ἀδιαλείπτοις συνεσχέθημεν καὶ ἀνίαις,

cele divine, Domnul observând că atuncĭ la óre-care solemnitățĭ sacre schĭopăta puritatea șĭ firmitatea culturei bisericeștĭ, de alt-feliŭ constantă și nepângărită, se aprinse de focul zeluluĭ divin și îndată venind cu buretele preste acéstă pată bolnăviciósă, espuse în fața părinților divinĭ cele divine, poruncind să se întrunĭască în adunare sânțită și tóte pe rând să le cerceteze dupre vechele canóne [49]). Decĭ întrunindu-se de pr tutindenea colegiul sacru al preoților și dupre porunca domnésca adunarea făcêndu-se cum se cuvenea în templul sĕŭ sub președința Ierarhilor, cu amăruntul și cât se putu maĭ bine s'aŭ deslușit punctele discutabile și conform inspiratelor decisiunĭ ale anteriórelor Sinóde Ecumenice, se făcură poruncĭ consunătóre cu cărțile de D-ḑeŭ inspirate ale Scripturelor și coglăsuitóre cu dogmele cele armoniόse ale Sinódelor, în cât se înfrânară corupțiele purtăreĭ celor greșitorĭ. carii fățiș tindeaŭ la stricarea moravurilor, și zelul cel maĭ 'nainte ferbinte și rêvnitor la ceriŭ, fiind prefăcut dupre desordinea vieței. acum ĭarăși s'a aretat și glorios a strălucit. Așa decĭ, un caracter pururea divin și nepângărit al celor ce domnesc, maĭ mult încă, pietatea către D-ḑeŭ este o întăritură nedistrusă și greŭ de apropiat inimicilor; ĭar Statul ce se investeşte cu toga cea porfirică a euseviei (cucernicei) se distinge de tirania cea strîmbă și se asémăna uneĭ imagine decopiate de pe originalul împĕrățieĭ divine. Decĭ până aicĭ principele Constantin pășind în viață prin o așa înodare de peripețiĭ ce se țeséŭ între dênsele, cum se obicĭnuește în lucrurile omeneștĭ, și prin o variată reformare a putereĭ și scótere la capĕt a domnieĭ pe icĭ pe colo, deodată sosi greul nenorocireĭ șĭ-'l cuprinse o cădere maĭ tristă de cât cele trecute; căcĭ prin viclenia adversarilor, smuls cu totul din domnia ce guvernase până acum abia apucă în puține ḑile a se strînge și a-șĭ pregăti cele de drum, și îndată și plecă spre capitală cu ceĭ de pe lângă dênsul supunêndu-se ordinuluĭ împĕrătesc.

(1749). Când după mânia luĭ D-ḑeŭ pentru mulțimea pĕcatelor nóstre. căḑênd din acésta domnie a Dacieĭ, am ajuns în Bizant, atuncĭ dar periclitându-ne în multe restriște și în o iliadă (infinitate) de rele am intrat în adevĕr, de și fără vole, în o viață de nevĭețuit, și furăm cuprinșĭ de întristărĭ ne-

ἀεὶ ἐπὶ τὸ τῆς ἀμηχανίας ἄπορον ἐπισπερχούσας. Καὶ γὰρ τῆς ἀποβαλλομένης ἀρχῆς ὁ πηδαλιοῦχος, ᾧ καὶ τὸ ἐπ' εὐπραγίᾳ τῆς ἡμετέρας ζωῆς ἐπερήρειστο θάρσος, ὀστράκου, ᾗ Πλάτων ἔφη (Πλάτ: ἐν Φαίδρῳ:), μεταπεσόντος οἴεται φυγῇ μεταβαλὼν, καὶ ἄφνω πάντων ἡμῶν ἀποσχοινιζόμενος εἰς τὴν ἡφαιστίαν νῆσον ὑπερόριος ᾤχετο, πάντας τοὺς ὑπ' αὐτὸν σχετλίως καταλιπὼν, τῷ κλύδωνι τῆς ἀτυχίας ἑαλωκότας, καὶ τῷ χειμῶνι τῆς συμφορᾶς παραθέμενος· τοι γάρ τοι τοῦ πρυμνήτου τῶν πηδαλίων ἀποκρουσθέντος κατεῤῥάγη ἂν δήπου τὸ χειμαζόμενον σκάφος ταῖς ὑφάλοις προσαῤῥασσόμενον, εἰμὴ τοῦτο θείας τινὸς ἐπιπνοίας ζέφυρος τὸ τῆς ζάλης ῥόθιον κατευνάσας ἀμῶς γέπως ἂν τῷ τῆς νηνεμίας λιμένι προσώρμισε· τοι γαροῦν τοῦ μὲν πρώτου λαίλαπος καὶ τῆς ἐξαπινναίως ἐπιδραμούσης θυέλλης τοῦ δυστυχήματος ἀπηλλάγη ὁπωσοῦν τὸ κυμαινόμενον πλοῖον ἐκτός που τοῦ ναυαγίου γενόμενον, ἀλλ' οὐκ εἰς μακρὰν τῇ τῶν λυπηρῶν ἐπαλληλίᾳ τε καὶ ἐφόδῳ οἰκτρῶς πιεζούμενον τῶν ὑπεναντίων δήπουθεν πνευμάτων, ῥοιζηδὸν ἐπισκηπτόντων, κἂν τῷ εὐόρμῳ δοκοίη ἐπινήῳ ἐλλιμενίζεσθαι, δεινῶς πως ἐκλυδωνίζετο ὅσον οὔπω περιτρεπόμενον· κἀνταῦθα δὲ τό τε ἦν γνόφον συνορᾶν ἐφ' ἡμῶν συναλιζόμενον τῆς ἀπορίας, καὶ ἐπιλυγάζοντα τῆς διανοίας τὸ διαυγές, κατήγοροι γὰρ καὶ σκῶπται σωρηδὸν ἐξορμῶντες ἡμᾶς οἷα τοῦ ἡγεμονικοῦ θώκου παρ' ἀξίαν κεκρατηκότες, οὐκ ἔπαυον αἰτιώμενοι καὶ μυκτηρίζοντες· ταύτῃ γοῦν τῷ γε ὀστρακισθέντι καθηγεμόνι, οὐχ ἥκιστα δὲ καὶ τοῖς ἐν μόχθῳ παραλειφθεῖσι μῶμον οὐ τὸν τυχόντα προστρίβοντες· τοὐντεῦθεν ἄρα τοῦ κακοῦ προϊόντος, ἐπιχλευασμοὶ ἀνὰ πόλιν ἐν οἴκοις, καὶ καταλύμασιν ἀγοραῖοι ψηθυρισμοὶ ἐν λαύραις καὶ λεωφόροις, μυρίων τε ψόγων βέλη παντοδαπὰ καθ' ἡμῶν ἐκσυριττομένων τε καὶ δυσπραγούντων· Οὕτως οὖν στηλιτευτικῷ ῥήγματι ἐρεσχελίζοντες οἱ πολέμιοι καὶ ὑπερφρονοῦντες, πανταχῇ τῆς σκολιότητος ἐκτραχηλιζομένης ἐπὶ τὰ χείρω, σκαιὰν ἅμα καὶ ἀδολεσχοῦσαν τὴν μισοκαλίαν αὐτῶν προὐτίθεντο· τίς δ' ἂν εἴποι τοὺς λόγους καὶ τὰς ἐνέδρας τῶν δυσμενῶν, οἵ τῷ περὶ τοὺς ἀτυχοῦντας μώκῳ καὶ καγχασμῷ τὴν μοχθηρὰν καὶ πικρίας γέμουσαν σκευωρίαν παραμίξαντες, τῆς ἐπιβουλῆς ἀναμὶξ καὶ χλευασίας τὸ στυφελὸν καὶ ἐπώδυνον κρᾶμα τοῖς ἤδη ἐν ὠδῖναις κατεσκληκόσι προσηνέγκαντο· πλαζομένους μέντοι, καὶ τῇ δε περὶ τὸ ἄστυ ἀβουλίας περιουσίᾳ ἀλύοντας τοὺς τοῦ εἰς τὴν ἀλλοδαπὴ μετενεχθέντος οἰκέτας, τέως εἱρκταῖς καθυπέβαλον, δανειστῶν αἰκίαις παρέδωκαν, καὶ ἄρτι τῷ τῆς τύχης βλοσυρῷ ἐκδειματοῦσθαι εἰωθότας, κινδύ-

întrerupte și de supărări, ce pururea ne espunéŭ la nedomirirea de a eși la vre-un capĕt. Căci cărmaciul domniei perdute. în carele rezema și bizuirea pentru fericirea vieței nóstre, resturnându-se bila, cum dice Platon [50]), cugetă a se depărta prin fugă, și de-o-dată despărțindu-se de noi toți se duse destărat în insula Lemnos [51]), lăsând desolați pre toți cei de sub dênsul, cuprinși de furtuna nenorocirei, și espunêndu-i la vijelia restriștei. In adevĕr pilotul înlăturat de la cârme, vasul cel cuprins de furtună, de sigur s'ar fi spart lovindu-se de stânci, dacă vêntul (zefirul) suflărei divine liniștind întru cât-va rĕpegiunea furtunei, n'ar fi înlesnit intrarea vasului în portul de liniște. Deci, nava cea învăluită scapă întru cât-va de întâia grindină și de furtuna, ce fără veste amenința cu nenorocire, și evită naufragiul; dar nu după mult timp, din causa neîntreruptului atac al întristărilor jalnic fiind apăsată (căci vênturile contrare o loviaŭ cu furie), de și părea a se adăposti în portul de alinare, cumplit se învăluia și puțin lipsi a nu se resturna. Chiar și aici putea a se vedea o negură de nedomerire adunându-se preste noi și întunecându-ne agerimea minței; căci acusatorii și batjocoritorii noștri, ca unii ce fără demnitate apucase tronul domnesc, cu grămada aruncându-se asupra nóstră, nu încetaŭ a ne acusa și batjocori; și în așa chip căusaŭ nu mică insultă atât principelui exilat, cât și celor remași în suferință. De aci rĕul progresând, se aruncară asupra nóstră celor persiflați și nenorociți defăimări prin oraș, în case și ospătătorii vorbe próste în strade și drumuri, și tot feliul de săgetaturi de nenumĕrate bănueli. Așa dușmanii și despretuitorii noștri bărfind vorbe desonorătóre, și preste tot locul strîmbătatea lor sumețindu-se tot mai rĕŭ, pe față își arătaŭ ura lor cea négră și viclénă. Cine ar putea spune cursele și mréjele inimicilor, carii amestecând întriga cea rĕutăciósă și plină de amărăciune cu defăimarea și derîderea celor nenorociți, adăpaŭ pre cei acum svêntați de dureri cu o mixtură vĕtămătóre și oțetită de viclenie tot-o-dată și defăimare. Iar pre servii celui deportat aiurea, carii rătăciaŭ și de multă nepricepere pribegiaŭ pre aici prin oraș, în fine îi aruncară în închisori, îi trădară maltrătărilor creditorilor, și pre cei abia deprinși

νοις ὧδε ἐπτοημένους παρέθεντο λαθραίοις τε καὶ ἐναργέσι.

Τηνικαῦτα μὲν ἐπὶ τοὺς δειλαίους καὶ δυσφοροῦντας ἐν τῇ βασιλευούσῃ τῶν πόλεων παροίστρων ὁ φθόνος ἐξήμεσεν, οὐκ ἔλαττον ἐν τῷ τῆς ὑπερορίας δυστήνῳ χώρῳ βληθέντα τὸν ἀρχηγὸν καταβαλλούσης τῆς βασκανίας· Λῆμνος ἦν τότε τῆς λυγρᾶς ἐξορίας τὸ πολυτελέστατον μέγαρον, ἐπὶ ψόγῳ τεθρυλλημένη, ἀνιαρὰ καὶ κατάξηρος νῆσος, πάλαι που τῶν ἐξωσθέντων τὸ δεσμωτήριον, ἢ τὸν σκάζοντα καὶ μεμυθευμένον Ἥφαιστον τοῦ τῶν ὀλύμπια δώματ᾽ ἐχόντων ὁμίλου, ἵνα καθ᾽ Ὅμηρον εἴπω, παρωθούμενον καὶ ἀποσοβησθέντα ἀναδεξαμένη ἄρουρα τὸ τῶν πειρατῶν ὁρμητήριον, τῶν λημναίων κακῶν ἡ παρεγκύκλιος σκηνή, τῶν ὄφεων καὶ ἐχιέων ἡ καλιά, καὶ τοῦ ὑπ᾽ ἐχίδνης δακέντος Φιλοκτήτου τὸ πολυστένακτον ἐνδιαίτημα· ὁ ἐπάρατος οὖν οὗτος καὶ ἀριδάκρυτος χῶρος, ὥς ποτε σὺν Ὀδυσσεῖ Νεοπτόλεμον τουτονὶ κατέσχεν ἄρτι ἐφέστιον τὸν ἐνθάδε πάροικον καὶ παρεπίδημον ἄνδρα, κἀκεῖσε γὰρ αὐτὸν οἶμαι ἐπ᾽ ὠνήσει κατάραι, ἵνα τοῦ κατὰ τὴν συμφορὰν ἀκμαίου πεπειραμένος ἔχοι τὸ τοῦ βίου ἐν περιπετείαις ἀκάθεκτον καὶ ἀκατάσχετον γνῶναι, καὶ τοῦτον πάνυ ἀριδήλως ἐπόψηται μάλα εὐπερίτρεπτόν τε καὶ εὐμετάβολον ὄντα· ἔνθα γοῦν ἐξῆν καὶ παρατετηρημένως θεάσασθαι ὄγκον περιθεώντων κακῶν, ἅτε τὸ γαληνὸν καὶ εὔδιον, ζόφῳ συσκιαζόμενον τὸ κῦδος εἰς ἀτιμίαν, εἰς αἶσχος τὸ κλέος, τὴν τῶν ἁπάντων εὐπορίαν εἰς πενίαν καὶ στέρησιν, εἰς ἐρημίαν καὶ μόνωσιν τὴν προπομπὴν ἀμοιβαδὸν ἀντικαταλλασσόμενα· ἀλλὰ μὴν ἐν ἅπασι στεῤῥὸν τοῦ γεννάδος, τὸ ἀνένδοτον φρόνημα, ἀκλινῶς τε καὶ ἀστεμφῶς διακείμενον, ἠρέμα τῶν ἐμπιπτόντων ἠνέσχετο, οὐ μὴ δυσανασχετούσης τῆς ἀρετῆς τῇ τῶν δεινῶν ἐπισκήψει· πέτρας γὰρ δίκην ἐν μέσῳ πελάγει προσθλιβομένης τῷ ῥεύματι, καὶ κύμασιν ἀῤῥαγοῦς ἀεὶ ταῖς ἀπὸ φιλοσόφου γνώμης παρακλήσεσι προσομιλῶν, ἀκράδαντον τὴν ἀριστείαν ἀντεπεδείκνυτο παλαίουσα δῆθεν ταῖς ἐπηρείαις ἡ καρτερία, καὶ οἱονεὶ ἐπὶ πένταθλον συμπαριστῶσα τὸ λῆμα τοῦ ἥρωος οὐκ εἴα διακλασθῆναι ταῖς συμφοραῖς, ὥστε δυοῖν θάτερον μηδαμῇ τὸν νουνεχῶς περιεσκεμμένον, ῥαδίως ἂν ἐπιλέγεσθαι ἢ τοὺς ἐπιγιγνομένους αὐτῷ πόνους ἐκτραγῳδῆσαι, ἢ τὴν ἀνταθλοῦσαν στεῤῥότητα, ἐπαίνων στέμμασιν ἀναδήσασθαι· τῆς σκηνῆς τοίνυν τῶν καθ᾽ ἡμᾶς οὕτω πως πανδημεὶ θεατριζομένης, θιασώτης κἀγὼ τυγχάνων τῶν ἀναβλαστησάντων δυσχερῶν, καὶ συγκοινωνὸς φορτηγοῦ ἐνθένδε πλοίου ἐπιβάς, καὶ ἀπάρας τῆς πόλεως περὶ δείλην ἑῴαν τήν γε εἰς Λῆμνον κατιθύνας πορείαν, ὅτι τάχιστα τῷ τοῦ Ἑλλησπόντου προσεγενόμην

cu spaima sórteĭ celĭ crude, aşa speriaţĭ îĭ espuseră la pericule ascunse şi făţişe.

Ast-feliŭ atuncĭ cu turbare se vărsă pisma asupra celor miserĭ şi necăjiţĭ din capitală, nu maĭ puţin de cum invidia apasă pre principele aruncat în localul trist al exilăreĭ. Palatul cel prea luxos al tristuluĭ exiliŭ era atuncĭ Lemnos, insulă în defăĭmare vestită, uricĭósă şi stérpă, de demult încă închisórea celor exilaţĭ; teren ce a primit pre schĭopul şi fabulosul Vulcan, respins şi alungat spre a mě esprima cu Omer [52]) din céta celor ce-'şĭ aŭ locuinţele în Olimp; locul de plecare al piraţilor, scenă teatrală de rele înspăĭmântătóre, cuĭbul şerpilor şi al viperilor, şi prea trista locuinţă a luĭ Filoctet cel muşcat de viperă [53]). Acest loc blestemat şi plin de lacrimĭ, precum altădată ţinu pre Neoptolem împreună cu Odiseu [54]), aşa acum poseda pre acest bărbat de curênd sosit aicĭ şi petrecětor departe de vatra sa. Socot însă că el şi acolo sosise spre folosul sěŭ, ca adecă încercând culmea nenorocireĭ să pótă cunóşte că viaţa nu resistă, nicĭ se póte opune peripeţielor, şi aşa să vadă arětat ca acésta este fórte mutabilă şi schimbăcĭósă. În care împregĭurare era posibil celuĭ ce observă de aprópe a vedea o mulţime de rele întrunite; căcĭ serenitatea şi liniştea se obscură de întuneric, gloria la rîndul sěŭ se preschimbă în desonóre, fala în ruşine, abondenţa de tóte în sěrăcie şi lipsă, întîmpinările pompóse în singurătate şi pustiu. Cu tóte aceste, caracterul cel inflexibil al vitézuluĭ tare în tóte cu o disposiţie statornică şi neclintită, liniştit suferĭa accidentele, fără ca virtutea să răpştéscă contra ataculuĭ restriştelor. Căcĭ ca o stâncă în mijlocul măreĭ bătută de curente şi nesurpată de valurĭ, pururea avênd în minte consolaţiunile cugetăreĭ filosofice, îşĭ arětă bărbăţia neclintită. În adevěr răbdarea luptând cu supărările şi întărind curagĭul Erouluĭ ca pentru o învingere totală, nu-'l lăsa a se frânge sub nenorocirĭ, în cât orĭ-ce cugetătorĭ cu minte n'ar putea uşor alege una din aceste două: orĭ să deplângă suferinţele venite asupra luĭ, orĭ să încunune cu cununĭ de laude tăria luĭ în lupte. Decĭ, fiind ast-fel representată în faţa tuturor scena întêmplărilor nóstre, şi eŭ încă fiind asociat şi coparticipător la restriştele supravenite, m'am îmbarcat pe un vas de trans-

πελάγει· λυγαίας δὲ τηνικαῦτα ἐπελθούσης νυκτὸς καὶ ἄφνω κατειληφείας τὸ σκάφος, τυφῶνες πολλῷ τῷ ῥοίζῳ διαῤῥηγνύμενοι τὰ πρότονα, καὶ σὺν ἱστίοις πρυμνήσια τά τε πηδάλια τῆς νεὼς διεσπάραττον αὐτανδρον, ταυτηνὶ τῷ βυθῷ καταδαπτίσαι βουλόμενοι· ἐνταῦθα δὴ τῷ σκότῳ τῆς ζάλης, καὶ τοῖς τῶν ἀλλήλοις ἀντιφερομένων λάβρων πνευμάτων προσκρούμασι, τῶν τε ἐῤῥωμένων κυμάτων ταῖς προσβολαῖς σφόδρα κατειλημμένοι, οἷα καὶ τῆς θαλάσσης ὥς περ ἐκ συνθήματος ἡμῖν ἀντιπαρατασσομένης τὴν ἐς ᾅδου ταχίστην ἐθέομεν, ἐν μεταιχμίῳ ζωῆς καὶ θανάτου γενόμενοι, καὶ τοῦ ζῆν προσωτέρω ἤδη ἀπεγνωκότες· ἀπειρηκότας δ' οὖν καὶ ὀδυρμοῖς στένοντας ὅλως, καὶ ἀπειπόντας τῷ τοῦ κινδύνου μεγέθει περὶ τὸ ἑωθινὸν σέλας κοπαζούσης τῆς τρικυμίας ἀνίσχων ὁ φαεσφόρος πλανήτης, καὶ γε τὴν διακεχυμένην ὁμίχλην ἀποσκεδνάμενος διαγελώσῃ ἡμέρᾳ καταυγάσας παρεμυθήσατο, καὶ ἠπιωτέραις αὔραις τῷ τῆς νήσου ὅρμῳ τῇ ὑστεραίᾳ ἀντιπροσήγαγε.

Ἤδη μὲν οὖν τῇδε κατάραντες, καὶ ἐν τῷ ἄστει παρακείμενον πρόσαντες καὶ ἀπότομον ὄρος ἔνθα ἡ ἀκρόπολις ἀσθμαινούσῃ προσαναβάντες πνοῇ τὸν ἐκεῖσε μεμονωμένον καὶ ἀφιδιάζοντα εὕρωμεν ἀριστέα φιλοσόφῳ δὴ γε φρονήματι τῶν ἀφορήτων τὸ νέφνος ἀποσοβοῦντα· καὶ δῆτα αὐτῷ συντυχίᾳ διηνεκεῖ ὁ σ η μ έ ρ α ι παριζάνοντες, προτρεπτικοὺς ἐς πένθους ἀπαλλαγὴν παρενείραμεν λόγους, παράκλησιν δήπου τῷ πεπονθότι τινὰ ὑποθησόμενοι· οὐ μὴν ἀλλὰ τὴν ἐμφιλοχωροῦσαν τῇ αὐτοῦ ψυχῇ ἀλκήν τε καὶ ἀνδρείαν τηνάλλως οἴδαμεν παραθήγοντες, ἐν γὰρ ταῖς ὑποθήκαις ταῖς ἡμετέραις, καὶ προτροπαῖς τὸ τοῦ θυμοῦ στερεμνὸν καὶ φιλοκαλίας δυσαπότρεπτον ὑποβάλλοντες, ἵνα μὴ πάντως τῇ ἀθυμίᾳ ἄγαν ὑποβρύγιος γένοιτο, καὶ πάνυ ἐπιτείνας τὸ πένθος, ὡς ἔπος εἰπεῖν, διαῤῥήξηται τὸ καλῴδιον, ἔγνωμεν γλαῦκα, τὸ τοῦ λόγου, ἐς Ἀθήνας φέροντες, καὶ τὸν δελφῖνα νήχεσθαι ἐκδιδάσκοντες· οὕτω πως οὖν ἐπὶ τῷ στυγερῷ καταλύματι ἀπαρκῆ ἐν διατρίψαντες χρόνον, καὶ γε ταῖς τῶν ἀλγηδόνων ἐνδιαιτησάμενοι ἀναφυούσαις ἀκάνθαις, τοτὲ μὲν παρὰ τὴν ἀκτὴν τῆς θαλάσσης διεγενόμεθα, τὸ ἐκπυρούμενον καῦμα ἀναψύξοντες τῆς ὑποσμυχομένης καρδίας, τοτὲ δὲ τῇ ἀκρωρείᾳ, ἤ τῶν λειμώνων τινὶ προσπελάσαντες τῇ θέᾳ τοῦ τῆς φύσεως κάλλους παρεπεφερόμεθα ἄσμενοι. ὥστε τὸ τραῦμα ἀκέσασθαί πως, καὶ ἐπ' ὀλίγον τῆς δυσφορίας ἀπαλλαγῆναι.

port şi plecând din oraş după răsăritul sórelui, apucaĭ calea spre Lemnos, care mĕ duse cât maĭ răpide în marea Elespontuluĭ. Atuncĭ venind o nópte întunecósă şi fără veste cuprindênd vasul, o vijelie cumplită rupse cu multă răpegĭune funiele de dinainte, sfâşie vêntrele cu frănghiele şi cărmele naveĭ, în cât acésta risca a se cufunda în adênc cu ómenĭ cu tot. In acéstă impregĭurare fiind fórte ameninţaţĭ de întunericul furtuneĭ, de isbirele vênturilor răpeḑĭ, ce se băteŭ între dênsele, şi de loviturele puternicilor talazurĭ, de óre-ce şi marea pare-că într'adins se luptă cu noĭ, ne duceam cât maĭ iute la infern, stând la mijloc între viaţă şi mórte, ba de ce în ce maĭ mult desperându-ne de viaţă [55]). Decĭ, cu totul desperaţĭ suspinând cu bocete. şi încremeniţĭ de mărimea periculuĭ, maĭ contenind furtuna în ḑorĭ de ḑiuă, cu rĕsărirea sóreluĭ, împrăştiindu-se şi negura cea întinsă, şi strălucind o ḑi zîmbitóre am maĭ prins la suflet şi a doua ḑi cu vênturĭ maĭ line intrarăm în portul insuleĭ.

Decĭ, după-ce debarcarăm aicĭ, suindu-ne cu respirare gâfuitóre pe un munte situat lângă oraş, înalt şi drept în sus, în care era cetăţuia, am aflat pe Eroul cel isolat acolo şi în singurătate, respingênd prin o cugetare în adevĕr de filosof nourul calamităţilor. Şi decĭ în necontenitele întâlnirĭ cu dênsul de tótă ḑiua înşiram cuvinte sfătuitóre de înlăturarea tristeţeĭ, voind a da órecare consolaţiune celuĭ în suferinţe. Dar ne-am încredinţat că în van îmboldiam vigórea şi bărbăţia permanentă în sufletul sĕŭ căcĭ în preceptele şi sfaturile nóstre amintindu-ĭ de tăria curagĭuluĭ şi de nepărăsirea frumóselor luĭ disposiţiunĭ, pentru ca să nu se afunde de tot în descuragĭare, şi întinḑênd prea mult tristeţa, să se rupă aşa ḑicênd sfóra, ne-am convins cum ḑice vorba, că ducem cocovauă la Atena, şi învĕţăm delfinul să înnóte [56]). Decĭ petrecênd aşa îndestul timp în acéstă locuinţă abjectă, şi veţuind între spiniĭ ceĭ rĕsăriţĭ din durerĭ, câte-o-dată ne ducém la litoralul măreĭ spre a ne recori arşiţa cea înfocată a inimeĭ ceĭ învăpăete, altă-dată pe culmea munteluĭ, orĭ apropiindu-ne de vre-o grădină, veselĭ ne recream de aspectul frumuseţeĭ natureĭ, în cât rana se vindecă întru cât-va, şi pentru puţin scăparăm de suferinţă.

Κόρον δὲ τελευταῖον τῆς ἐκεῖσε διατριβῆς ἐσχηκότες, καὶ τὸν ὀδυνηρὸν τοῦ χρόνου ῥοῦν ἀποτροπιαζόμενοι ἐς τὸ ἀνακτόρειον πάλιν ἄστυ ἀναλύειν βεβουλεύμεθα. Καὶ γὰρ τοῦ λημναίου ναυστάθμου ἄραντες ἀναπεπετασμένοις καὶ πνεύματος ῥύμῃ διογκουμένοις ἱστίοις τὴν ἐξουρίας διεπλεύσαμεν ναυτηλίαν, τὸν πορθμὸν ὅσον τάχος τὸν ἑλλησπόντειον παραμείψαντες· κυμαινομένης οὖν τηνικαῦτα ἐξ ὑπογυίου τῆς θαλάσσης, καὶ αὖθις περὶ τὸν ἡράκλειον πόντον ἡ ναῦς σάλῳ κεκίνηται, καὶ καταιγίδι ἐμπεριπεσοῦσα δεινῇ, μάλα μόλις παρὰ τὴν δευτεραίαν τὸν τῆς προποντίδος πλοῦν παρηλλάξατο, δυσχερῶς πως ἐφικνουμένη τῆς πόλεως· ἐπείπερ δέ καὶ δέλτον τινὰ ἐληλύθαμεν φέροντες πρὸς τοῦ ὑπερορίου ἄρχοντος ἀναγεγραμμένην, ἐν ᾗ τὰ τῇ προλαβούσῃ ἀρχῇ ἐμπαρομαρτήσαντα, καὶ γε οὖν τῆς καραδοκουμένης τῇ ἀνακτήσει, καὶ τῇ τῶν λυπηρῶν ἀπαλλαγῇ προσανήκοντα, νουνεχῶς ἐσχεδίασται, νέα παραχρῆμα καθ' ἡμῶν διεῤῥάγη ἐκβολὴ τῶν δεινῶν, ἀπανταχῇ τοῦ χωρίου ἐκπλημμυροῦσα, καὶ προσκατακλύζουσα· αὐτίκα μὲν γὰρ οἱ τοὔμπροσθεν ἑταῖροι τῶν πυξίων τοὺς κομηστάς, ἅτε τῇ σφῶν σκευωρίᾳ ἀπάδοντα ἐνηνοχότας ἐντάλματα, λήροις τε καὶ φληνάφοις διηκόντιζον τοὺς ἐχέφρονας οἱ ἐμβρόντητοι, καὶ τοὺς ἐλευθέρους τὴν διάνοιαν οἱ χαμαίζηλοι, φρενολήπτους καὶ παραπλῆγας ἀποφαινόμενοι· οἱ δὲ τέως πολέμιοι τὸν ἡμέτερον κατεπείγοντες ὄλεθρον, ὀξὺ διεμάχοντο, καὶ μοχθηρᾷ ὁτιοῦν παλάμῃ προσμηχανώμενοι τῷ τῶν παλαμναίων δεσμωτηρίῳ τὸν πόῤῥω που ταῖς ὀδύναις ἐντεθραμμένον, καὶ ἀνυπεύθυνον, τελευτῶντες προσήγαγον.

αψν. Φεῦ τῆς ἀθεμίτου πράξεως, βαβαὶ τοῦ μιαροῦ ἀνομήματος, ἐνταῦθα μοι ἀναπολοῦντι τὸ γεγονὸς, ἀνεπίσχετοι πηγαὶ δακρύων καταῤῥέουσι τῶν παρειῶν, καὶ μὴν ἐπισχετλιάζων ἐφ' οἷς τετόξευμαι βέλεσι, καὶ τῇ θρηνωδίᾳ προστετηκὼς τῷ ἐμβριθεῖ ἄλγει ὁλοσχερῶς ἐκλύομαι προσδαπανώμενος· κῆρα μὲν γὰρ τίς ἂν διανοήσειε στυφωδεστέραν; τίς ἂν ἴδοι ἱστὸν πεπρωμένης δεινότερον; κατείδαμεν γάρ τοι κλονούμενα τὰ τῶν ἀνθρωπίνων πραγμάτων ἑδράσματα, ἅττα ἢ ἂν ποιοίη χειμάῤῥους καταῤῥέων χαράδρας περιετρέψατο παρασύρων ὁ χρόνος· τεθεάμεθα οὖν τὸν πρὸς τοῦ ἄνακτος κύδιστον καὶ προεστεμμένον ὀλιγωρίᾳ παρεντυχόντα τὸν ποδηγέτην τοῦ λαοῦ εἱρκτῇ ἐμπεπεδημένον, τὸ τῆς Ἑλλάδος κλέος ἀμαυρωθὲν, καὶ ἀπαξάπασαν κατεστραμμένην τὴν ὄψιν τῆς παρελθούσης εὐκλείας, καὶ μηδαμῇ μένουσαν τὸ παράπαν· ἀλλὰ μὴν καὶ τούτοις ὁ ἄλκιμος προσκαρτερήσας οἷα τῇ πείρᾳ μεμαθηκὼς οὐ διεκάμπτετο τὴν εὐανδρίαν, καὶ μάλα κολοφῶνος τῆς ἀ-

In fine, săturându-mě de petrecerea de acolo și voind a înlătura supěrăcĭosul curs al timpuluĭ, am decis a mě reîntórce ĭarășĭ în orașul împěrătesc. Pornind decĭ din portul Lemnos cu ventrele deschise și îmflate de răpegĭunea vêntuluĭ, am plutit bine pe mare, trecênd cât maĭ ĭute strîmtórea Elespontuluĭ. Dar atuncĭ de-o-dată învăluindu-se marea, nava ĭarășĭ se agita de val, tot în marea Eracleĭană, și cuprinsă de o cumplită furtună abĭa-abĭa scăpă a doua ḑi de plutirea în Propontida, cu anevoe ajungênd în oraș. Dar fiind-că cu venirea nóstră am adus și o scrisóre scrisă de principele exilat, în care raționat eraŭ descrise cele ce urmasă în domnia precedentă, și maĭ ales cele cuvenite pentru recâștigarea uneĭ domniĭ așteptate, și pentru scăparea de supărărĭ, de-o-dată irupsă asupra nóstră o nouă revĕrsare de nenorocirĭ, revĕrsându-se ca un potop preste tot locul. Căcĭ îndată socĭĭ noștri de maĭ 'nainte începură a împroșca cu bârfirĭ și fleacurĭ pe purtătoriĭ scrisorilor, de óre-ce adusese informărĭ nepotrivite intrigeĭ lor, pentru care însușĭ fiind smintițĭ, numĭaŭ nebunĭ pre ceĭ cu minte, și eĭ tărîtoriĭ trataŭ de nesimțitorĭ pre ceĭ cu cuget liber. Iar dușmaniĭ de până acum grăbind perderea nóstră, cumplit luptaŭ, și cu reutăcĭósă uneltire intrigând in tot chipul, în fine introduseră în temnița criminalilor pre cel îndelung acum trăit în suferințĭ și neresponsabil.

1750. O ce faptă nelegală! vaĭ ce nelegĭuire pângărită! Aicĭ amintindu-mĭ de acea întêmplare, sorgințĭ de lacrimĭ fără voe îmĭ curg pe față, văetându-mě încă de săgețele cu care fuĭ săgetat, și topit de bocete, mě perd cu totul consumat de adêncă durere. Că cine 'șĭ-ar închipui o ursită maĭ apăsătóre? Cine ar putea vedea o urzire de sórtă maĭ aspră? Vĕḑut-am în adevĕr clătindu-se temeliele lucrurilor omeneștĭ, pre care tîrindu-le timpul le-a resturnat, cum ar face un torent revĕrsându-se prin surpăturĭ. Așa fel am privit pre cel ilustru și maĭ 'nainte încununat de împĕratul, întîmpinat cu despreț, pre conducĕtorul poporuluĭ legat în carceră, gloria Eladeĭ întunecată, și aspectul faleĭ trecute cu totul distrusă și nelăsând nicĭ o urmă. Cu tóte acestea, vitézul persistând ca cel ce avea esperiență în aceste, n'a slăbit în bărbăție, ci maĭ ales dorind

ρετῆς ἐφιεμένος ἐς κορωνίδα ἐπαίνων προσελήλακεν ὄλβιος.

Ὧ δὲ μὲν οὖν προπηλακισμοῖς τηλικούτοις ἐνειλημένους, καὶ τοσαύταις ἀτυχίαις περιπλακέντας ἐξαίφνης ἐπιστίλβουσα θεία τις ἐπικουρία τοῦ κρείττονος πλοκῆς ἀνέπτυξε τῆς γορδίας, καὶ δὴ τῆς τε εἱρκτῆς καὶ ὑπερορίας τοὺς ἀμφί τὸν ἡγεμόνα ἐξέλκουσα ἐς τὴν βασίλειον ἕδραν δημοσίῳ κελεύσματι ἀναποδίσαντα ἡμῖν τὸν ἐπέραστον ἐχαρίσατο· τότε μέντοι πλοίῳ κατάραντα, καὶ προσεληλυθότα τῇ ἠϊόνι τῆς χώρας γαμετή, τέκνα, ὁμαίμονες. ἄρχοντες, πρόσπολοι καὶ οἰκέται, θεραπαινίδες, καὶ φίλοις ἅμα ἅπας ὁ ὅμιλος τῶν ἐκεῖσε παραγενομένων, οὐχ ἥκιστα καὶ ἀλλαχόθεν προσφοιτώντων μετὰ πλείονος τῆς θυμηδίας προσεδέξαντο, δακρύοις θαμὰ ἀποῤῥέουσι τῶν ὀμμάτων, τὴν τῆς παρεκπηδώσης ψυχῆς διάχυσιν ἐπενδεικνύμενοι· μετήλλακται γοῦν δαιμονίως τὰ ἔχθιστα καὶ δυσχερῆ ἐς ἥδιστα καὶ τερπνά, εἰς εὐπρόσωπα καὶ εὐδιάλλακτα τὰ αἴσχια καὶ δυσέντευκτα· ἀλλαμὴν οὐ παρεξετάνθη οἴμοι τῷ μήκει τοῦ ἐπιῤῥέοντος χρόνου ἡ προσβαλοῦσα αἰθρία, ἀλλὰ τοὐναντίον αὖ ἐπαιωρούμενα τὰ νέφη καὶ ἀθροιζόμενα νυκτὶ τὸ φαεινὸν καὶ εὔδιον παρεκάλυπτο, καὶ ὄμβρους παρέχεον πικροτέρων ναμάτων· πρὸ πάντων μὲν γὰρ οὐκ ἔλαθον οἱ πρόκριτοι τῶν θεραπόντων οἱ συμμύσται τῆς βουλῆς οἱ ἀμύητοι πάνυ ἀγνωμονοῦντες, καὶ ἀριδήλως καταλελοίπασιν οἱ εὖ πεπονθότες τὸν εὖ ποιούμενον, τὸν πλουτίσαντα οἱ πεπλουτηκότες, τὸν εὐμενῆ καὶ γενναῖον οἱ ἀγελαῖοι καὶ ἀπαναίσχυντοι δυσμενεῖς· οὗτοι μὲν ἀγαθὰ κεκτημένοι οἱ ἀναιδεῖς, καὶ πλούτου περιουσίαν ἐν μεγάροις πολυτελέσιν οἰκουροῦσι χλιδῶντες, καὶ ἄγαν διαθρυπτόμενοι, ἀνέστιον δὲ οἱ προγάστορες καὶ ἐν πολυτελείᾳ ῥαστωνεύοντες, καθορῶσι τὸν σφῶν αὐτῶν εὐεργέτην πενίᾳ τε συζῶντα καὶ κακουχούμενον· τοῖς δε γοῦν κἄπειτα τοῖς ἀπωμότοις ἐφ᾽ ᾧ τῶν ἀτυχημάτων τὴν πληθὺν ἀπαρτίσασθαι, καὶ τραπεζῖται συνεμίγησαν δεινοποιοὶ δανεισταί τε βιομήχανοι ἐπὶ χρήμασι παρενοχλοῦντες, καὶ φυλακῇ καθειργνῦντες, τὸν ἐν ἀδρανείᾳ ἀμηχανοῦντα· οὐχ ἥκιστα δὲ καὶ οἱ ὑπὸ μιαρᾷ παλάμῃ καὶ πολυσχεδοῦς διαβολῆς συσκευῇ τὸ δίκαιον ψευσάμενοι ἀναιδῶς πλαστοῖς καὶ μηδὲν ἐχομένοις τῆς ἀληθείας τεχνάσμασιν, ἐς δικαστήρια διασύροντες, καὶ πολλαχῇ ἐπισπῶντες τὸν μὲν ἀνυπόδικον, πᾶσι δὲ ἐῤῥωμενέστατα προσπαλαίοντα.

αψνγ. Καὶ μέντοι ἅτε δὴ εὐπορούσης ἐπὶ μηχανήμασι τῆς μισοκαλίας, καὶ πολυγονίας δεινῶν ὁσημέραι ἀντιποιουμένου τοῦ φθόνου οἱ τῶν πολεμίων ὑπουλότεροι, ὧν τέως ἔδρασαν τῇ σκαιότητι

culmea virtuței se înălță fericitul la cununa laudelor.

Decĭ, asupra celor așa copleșițĭ de atâtea batjocurĭ și străbătuțĭ de atâtea nenorocirĭ, de-o-dată lucind un ajutor divin de la cel prea puternic, desfăcu nodul gordianu [57]), și prin urmare scoțând din închisóre și de la exiliŭ pre principe cu ceĭ ce-'l însoțĭaŭ, prin ordin public reîntors în capitală ni se dărui cel prea ĭubit. Atuncĭ venind cu corabia și apropiându-se de țărmul țěreĭ cu multă bucurie l'aŭ primit soția, copiĭ, consângeniĭ, boerĭ, domesticĭ, servitorĭ servitóre și împreună cu amiciĭ tótă mulțimea celor ce venise acolo, pre cum și ceĭ ce alergase de pe aĭurea; și multe lacrimĭ curse din ochiĭ lor arătând veselia sufletuluĭ celuĭ emoționat. In urmare, într'un chip minunat să prefăcu dușmăniile și supărările în plăceri și veseliĭ, urîtoriĭ și neprimitoriĭ în zâmbitori și îmbunători. Insă, vaĭ! seninul arĕtat nu se prelungi îndelung în decursul timpuluĭ, ci din contra ĭarășĭ rădicêndu-se și adunêndu-se nuoriĭ acoperiră cu nópte lucirea și alinarea, și vĕrsau gridinĭ de ape maĭ amare. Căcĭ se arĕtară pe față fórte nerecunoscĕtorĭ maĭ cu sémă ceĭ maĭ distinșĭ dintre servitorĭ, compărtașiĭ și necompărtașiĭ sfatuluĭ sĕŭ, și fórte arĕtat părăsiră ceĭ bine-făcuțĭ pre bine-făcător, ceĭ înavuțițĭ pre înavuțitor, rĕŭ-voitoriĭ josnicĭ și nerușinațĭ pre cel bine voitoriŭ și generos. Aceștĭ nerușinațĭ posedând bunurĭ și prisos de avere petrec în palate luxóse resfățându-se și fórte desmerdându-se, ba pânticoșiĭ și ceĭ ce se îmbuibézĕ în luxurie privesc pre bine-facĕtorul lor fără vatră trăind și chinuindu-se în sĕrăcie. Și în urmă, spre a se deplini mulțimea nenorocirilor. cu aceștĭ abjurătorĭ se amestecară zărafĭ asupritorĭ, și creditorĭ industriașĭ, cariĭ supĕraŭ pentru banĭ pre cel lipsit din neputința de a lucra, șĭ-'l închidéŭ în închisorĭ. Numaĭ puțin și ceĭ ce cu mână criminală și prin uneltire de multiplă viclenie, nerușinos falsificând dreptul, cu măestriĭ plăsmuite și necuprindĕtóre de nicĭ un adevĕr, trăgeaŭ la tribunale și în tóte părțile tiraŭ pre cel ce nu era de dat judecățeĭ, dar carele vĕrtos se lupta cu toțĭ.

(1753). Insă fiind-că rĕutatea abundéză în intrigĭ și pisma întreprinde dilnic sporirea nenorocirilor, dușmaniĭ ceĭ maĭ viclenĭ spre a face vêrf mulțimeĭ rĕutăților, ce lucrasă

αψμϐ. Ἅμα δὲ τῷ τῆς ἐξουσίας περιδραξάμενον τῆς Μολδαϐικῆς μεταποιήσασθαι διοικήσεως, χώραν τινὰ ἀναφανδὸν ἐπὶ τῆς ἐπικρατείας ἀφηνιάζουσαν, καὶ τῷ κρατοῦντι μηδέπω πειθαργοῦσαν τὸ Κιμπουλούγγιον δῆθεν τὸ Ῥωσσικὸν ἀνιαρῶς καθορῶσα, καὶ ἐπὶ τὴν ταύτης ἀναστολὴν παρακύψασα ἡ ἐμφιλόχωρος ὀξυδέρκεια, καὶ τὸ τῆς ἀναρχίας διασκίρτημα ἀποτρεπομένη, στρατιώτας τοὺς ἀπὸ τῆς δορυφορίας μετὰ οἰκείου ποδηγέτου καὶ ἄλλων τινων ἀποσταλῆναι διακελεύσασα οὕτω πως, τοῦ τῇδε ἀποσκιρτήσαντος δήμου τὴν τόλμαν συντέθραυκε, βασιλείῳ καθυποϐαλοῦσα φορολογήματι· περὶ ὧν δὲ τῶν τινες Λεχῶν ὑπὲρ τὰ ἐσκαμμένα πηδῶντες, καὶ τέρατα ὑπερκύψαντες κατεπατουν, μεθορίων τῆς Μολδαϐίας διατεινάμενος ἀντισχυρίζετο, καὶ τῶν διαιτητῶν ἤδη ἀμφοτέρωθεν ἐπὶ τὸ εὐεπηρέαστον τῇ ὑποψίᾳ συνόμορον προσελθόντων, ἀστεμφῶς τὴν ὕϐριν ἀποσοϐούμενος τά γε τῆς ἡγεμονίας παραθαλψάμενος προνόμια ἐπὶ τοὺς ἐν τῇ χώρᾳ ἄρει ἐξοιστρουμένους, καὶ θράσει σφριγῶντας κατὰ τῶν ἐπιχωρίων Ὀθωμανούς, τὸ συντονώτερον μετεῖετο τῆς σπουδῆς· τούτους μὲν γὰρ τῷ τῆς ἐμπορίας προσχήματι τοῖς πένησι καὶ ἀγροίκοις τῶν ὑπηκόων στιϐαροὺς χρημάτων ἐπεισάξαντας τόκους, καὶ τὰ πλεῖστα καὶ πολλαχόθι ἐπὶ πάντας ῥᾳδιουργήσαντας, καὶ τὸν ἐνόντα τρόπον ἀδικήμασι προς διαιτησαμένους, τῷ ἀπὸ τοῦ βασιλικοῦ ἄστεος ἐπιτάγματι, καὶ τῇ τοῦ προσδιορισθέντος ἀνδρὸς τὰς κακουργίας τῶν δυστροπούντων ἀνιχνευσομένου εἰς κομιδῇ, πανταχῇ μὲν τῆς νεμομένης γῆς τῷ ἐς τουτοὶ προαιρεθέντι ὁδηγῷ τῆς ἀκριϐοῦς ἐπενεχθείσης ἐρεύνης, πάσης μὲν τῆς ἐπικρατείας ἅμα τῇ τῶν ἐμπορικῶν ἀγορῶν ἀναιρέσει καὶ πανηγύρεων ἀπεληλάσθαι, τά γε αὐτῶν καταγώγια ὅλως ἀναιρεθῆναι ἐμφρόνως διαϐεϐούλευται· κἀνταῦθα οὖν πάλιν τῇ προτέρᾳ στάθμῃ τῆς φιλομούσου γνώμης τὴν τῆς νεολέας φιλόσοφον ἐκμετρούμενος παίδευσιν, σχολὰς μαθημάτων ἐπὶ τῆς ἀρχούσης καθέδρας, καὶ ἁπανταχῇ τοῦ χώρου διεκελεύσατο προσπαγῆναι μισθαποδοσίαν τοῖς τουτὶ ἐπιδεξαμένοις τὸ τῶν κοινῶν προσόδων ἐπὶ τούτοις ἀφορολόγητον ἀφθόνιως προσδωρησάμενος.

Τὴν δὲ ἐν τῷ διαιτήματι τῆς πολιτικῆς ἔριδος (νεῖκος γὰρ ἢ ἐν τῇ φύσει, οὕτω καὶ ἐν τῷ βίῳ

**puterea cu o administrație așa de armoniósă, iarășĭ fu resturnat din domnie (căcĭ fundamentul lucrurilor omeneștĭ evident este fórte lesne de resturna', și maĭ schimbător de cât conturnul tragic [41]), ĭar în locu-ĭ intrând Mihail, el este cu pompă transferat în Moldova, ca să disposeze și acolo cele cuvenite.**

(1742). Indată ce Constantin a apucat puterea a și reformat administrația Moldovenéscă, dar cu supărare privind la un ținut ce se revoltasă fățiș contra stĕpânireĭ și nu se supunea nicĭ cum Domnuluĭ, anume Câmpu-lung Rusesc [42]), s'a aplecat cu naturala sa agerime la potolirea luĭ, și pentru a înlătura sburdăcĭunea anarhieĭ, porunci de se trimese soldațĭ din gendărmărie cu căpitanul lor și cu alțiĭ óre-care, și așa se frânsă îndrăsnéla poporuluĭ revoltat, supuindu-'l la contribuția împĕrătéscă. Fiindcă uniĭ din Leșĭ, sărind preste șanțurile de hotar, încălcaŭ țara trecênd preste marginĭ, Vodă stărui puternic pentru confiniele Moldoveĭ, și după ce se întrunină arbitriĭ de ambele părțĭ la punctul atacat de contestare, cu tărie respingênd atacul, revandică prerogativele Principatuluĭ. Apoĭ își încordă tótă atențiunea asupra Turcilor din țară, cariĭ întețițĭ de resboiŭ, cu sumeție se întărâtaŭ contra locuitorilor. În adevĕr aceĭa, sub pretext de negoț, impunênd locuitorilor sĕracĭ și de la țară grele procente de banĭ, și cele maĭ de multe orĭ și în multe locurĭ pre toțĭ nedreptățindu-ĭ și în tot chipul cu strimbătățĭ trăind, Vodă s'a cugetat înțelĕpțește: căcĭ cu ordinul din capitala Impĕrățieĭ și prin un bărbat însărcinat spre urmărirea tuturor rĕutăților celor îndărătnicĭ, făcêndu-se exactă cercetare în tótă țara și raportându-se comisaruluĭ ales pentru acésta, fură alungațĭ din tot Principatul desființându-li-se tot o-dată și piețele neguțitoreștĭ și bâlcĭurile ba chĭar li se dărîmară cu totul și locuințele lor [43]). Apoĭ în acéstă împregiurare, cumpănind ĭarăși în mintea sa cea studiósă cu mĕsura de maĭ nainte educațiunea filosofică a tinerimeĭ, a poruncit a se funda scolĭ de învĕțăturĭ în capitală și în tótă țara, cu abondență dăruind încă ca resplată celor ce primiră acésta a fi scutițĭ de contribuțiunea veniturilor comune în acéstă privire [44]).

Iar în regimul certelor civile (căcĭ precum în natură dupre ḑisa luĭ Empedoclu,

κατὰ Ἐμπεδοκλῆ φάναι τὸ πᾶν συνίστησι καὶ φιλί ) ἀκραιφνεστάτην δικαιοσύνην τὸν τελαυγέστατον δῆθεν τῆς ἐξουσίας ἄνθρακα καὶ ἑδραῖον θεμέλιον ἀντὶ πάντων προελόμενος, δίκη μὲν εὐπάρεδρον προὔθετο, καὶ ἀῤῥαγέστατον κανόνα, τὸ εὐθὲς καὶ ἀδέκαστον, τούτου δ' ἐχομένως τοῖς ἁπανταχῆ χώρας ἐξουσίας μετειληφόσι, καὶ ὁσημέραι δικάζουσι τοὺς ὅρους τῆς δικαστικῆς ἀκριβολογίας τῇ τῶν πραγμάτων παμποικιλίᾳ προσηρμοσμένους, καὶ τὸ τοῦ δικαίου ἐν πᾶσιν ὀρθὸν καὶ ἀπερίτρεπτον, ἐπὶ λεπτοῦ προσυνεκθεμένου ἀμφικτιωνικὸν ἤδη ἀπείργασται Θέμιδος καταγώγιον, τὸ τῇδε κοινὸν δικαστήριον καὶ ἀδραστείας, ἢ νεμέσεως ἐνδιαίτημα, ὡς τοῦ λοιποῦ ἡ μὲν δίκη μηδόλως καπηλεύηται, τοῖς δὲ δούλοις οὐ κατὰ Δημάδην ἡ ἀνάγκη νόμος, ἀλλὰ τούτοις γε ἴσα καὶ ἐλευθέροις ὁ νόμος ἀνάγκη γίγνοιτο· ἔνθεν τοι μὲν ἐν δικαστηρίῳ γενόμενος, πλείστων ἦν ὅτε τῶν ὑπευθύνων ἐλέους ἐνδεομένων, καὶ πρὸς αὐτοῦ τῆς σῆς ὁτιοῦν ἀπηρτήμεθα προσκελεύσεως ἀποφηναμένων, εἰς τὸ ἀνθέκαστον ἀφορῶν τῆς δικαιοσύνης, οὐ προσδεῖται ἔφη, ὦ ἄνδρες, ἐλέους ἡ Θέμις, οὔτε μὴν ἐγκελεύσεσι πεπεράτωται, καὶ γὰρ ἐχρῆν τὸ δίκαιον ἀείπερ καὶ ἐκ σταχῇ τετηρῆσθαι ἀμίαντον καὶ εἰδέποτε δέοι ἐπὶ τῇ ἀσθενούσῃ φύσει τῷ οἴκτῳ πρὸς τοὺς κάμνοντας ἐπανακραθῆναι, οὐμὴν οὐδὲν οἶμαι δεῖν τῆς καθεστηκυίας, ἣ προσανέσχετο τοῦ εὐθέος ἐκτραπέσθαι κρηπῖδος, ἀλλὰ στερεμνὸν ἐγκαρτερεῖν καὶ ἀκίβδηλον· ἐς τοῦτο μὲν γὰρ ὑπὲρ τοῦ μὴ ἀθέσμως ἀλλήλοις καταψηφίζεσθαι, καὶ ἐρήμην ἁλῶναι ὑπέρ γε τοῦ τὸ πρὸς ἑκάστου ἐπινέμεσθαι ἄνωθεν τὸ Θεῖον ἐπ' ἀνθρώπους καθεῖναι τὴν δίκην· κατάλληλον μέντοι εἱρμὸν καθεστηκέναι τῶν ἀρετῶν, ἃς καὶ κοσμίως περιπλακείσας πρὸς ἐπεξεργασίαν νοὸς, ἀλλήλαις ἐγκαταμίγνυσθαι, ἀλλὰ τὴν δικαιοπραγίαν ἐπὶ τοῖς ἔργοις τοῦ δικάζοντος, ἀρμοστοῦ στάθμην μὲν εὐθεῖαν καθεστᾶσθαι ὅσαγε σπάρταν, τὸ δὴ λεγόμενον, ποτὶ τὰν λίθον, τὸν δὲ ἔλεον καλλίστην παραφυάδα, καὶ χρᾶμα τι μειλίχιον παραπεφυκέναι καὶ συγκεκρᾶσθαι· οὕτως ὀφείλε πολιτικὸς ἀνὴρ ἀποφαίνεσθαι πρὸς τὸ ἀρχόμενον τὸν κυβερνῶντα ἐν ἑαυτῷ νοῦν ἔχων, καὶ τὸν ἐγκελευόμενον λόγον. Περὶ μὲν οὖν τὴν ἀρχὴν ταύτην πλεῖσται ἐπικουρίαι ὑπὸ τῆς εἰς αἴτησιν ἐπισπερχούσης τῶν ὀφλημάτων βίας, καὶ ἐπὶ τοὺς πατριαρχικοὺς δεδαπάνηνται. αὖθις δὲ τῆς ἀναιδοῦς σκολιότητος τῶν τῷ οἰκτρῷ καὶ πενομένῳ τῶν πτωχῶν δήμῳ νεωστὶ ἐν πολυγνίῳ τινι ἐπιθεῖντο ἐμπόρων Ὀθωμανῶν ἀναδραμούσης, τῇ συνήθει δραστηριότητι τοῦ κρατοῦντος τὸ δεινὸν αὖ τῆς τρυχώσεως ἀπεσκορακίσθαι· τοιγάρτοι γοῦν τὴν Μολδαβικὴν δυοῖν ἐτῶν τοιόνδε τρόπον διωκημένην ὑπὸ τοῦ

